κρημάμενον ἀπὸ λαιμοῦ. Ὠμοισιν δέ μιν] ἤτοι συνταύσῃ· ἀμφήκεστο δέ μιν, ἤγουν ἐδέδετο αὐτὸν ἔκειτο, πῦ; ἐν τοῖς ὤμοις, ἄορ καὶ ξίφος μελανόστον· καθ' ὑπερβατὸν δὲ συνταύσῃ ἡ ἀμφί· εἴη δ' ἂν μελανόστον, ἢ τὸ μέλαινα ὀπλὴ ἔχον, ὡς ἐκ δίγματος κατεσκληκυίαν, ἢ τὸ ἐκ μέλανος σιδήρου δεδεμένον. ὁ δὲ Περσὴς ἅμα νόημα ἐπέστατο· ἐδέδει γὰρ ταχύτερον τῷ νοήματος. τλῆ ῥάιδιον δὲ αὐτῷ πᾶσαν φοβηλάμβανεν ἡ κεφαλὴ τοῦ δεινοῦ θεοῦ τῆς Γοργόνος· ἔδεισε γὰρ τῇ κεφαλῇ σακκοβύλιον ἀμφιρραῖ. τὸ δὲ [ἀμφὶ δέ μιν] ἤτοι συντάξεις· ἀμφιέδησε δέ, ἤγουν φοβηλάμβανε καὶ δεισιχέμιν, καὶ αὐτῇ τῇ κεφαλῇ τῆς Γοργόνος κίνυσις σκιρτήματος δὲ ἀπὸ τοῦ σακκηλίου χρυσοῦ. εἰς δὲ τῇ κεφαλῇ αὐτοῦ ἔκειτο ἡ φοβηφαλάια τοῦ Ἄιδου, μέλαινα ἦσαν. αὐτὸς δὲ ἔφερεν ἐσθῆτος φοβερωτέρῳ. ὅπαδοι δὲ σφέων ἐδίωκον αἱ Γοργόνες, ὁρμῶσαι καταπιεῖν αὐτόν. τὸ δὲ ῥώοντο δὲ χρὴ διάφερε, αὐτὶ τοῦ δυνατῶς ὤρμων. κτυπέοντο δὲ αὐτῇ ὅτι τοῦ λαμπροῦ ἀδάμαντος, ἦχον ἀπετέλει ἡ ὦσις. ὅτι δὲ ταῖς ζώναις τῆς Γοργόνων δύο δράκοντες σκιρτέμαντο, λυττοῦντες τὸ δυμῷ τὰς κεφαλὰς, σκίνουν δὲ τὰς γένις καὶ τὰ γλῶσσαν ἦσι οἱ ὄφεις ὡς λείξοντες. ἐν ὀργῇ δὲ συνέχρων τοὺς ὀδόντας, ἀχρίφς βλέποντες αἱ δὲ τῆς Γοργόνων κεφαλαὶ λίαν ἦσαν φοβεραί. ἱππόται.] ἤγουν ἱππόπις, ἡ κλητικὴ αὐτὶ εὐθείας. ἔστι δὲ (ὡς εἴρηται) τοῦτο τὸ παῖδος Δρυόπων καὶ Αἰολέων, καὶ Βοιωτῆς, κλυτὸς.] ὁ κλειτὸς, ἤγουν ὁ ἔνδοξος, καὶ κλυτὸς ἤγουν ὀνομαστός. ἐκ αὐτερέφς δὲ, ἐκ δὲ εἶπε κλυτὸς, ἤγουν ὀνομαστὸς, εἶτα καὶ κλειτὸς, ἤγουν ἔνδοξος· πολλαὶ γὰρ ὅτι καὶ ὀνομασοί. Ἀμφιγυήεις.] ἀμφιγυήεις λέγεται ὁ χωλὸς, ὁ ἐξ ἀμφοτέρων δηλαδὴ τῶν γύων, ἤγουν τῶν ποδῶν, πεπηρωμένος. γίνεται γοῦν ἀμφιγυήεις, καὶ προσῆκε τὸ μικρὸν εἰς ἡ, ἀμφιγυήεις, ὥσπερ χάεις χαείς, πρὴν τιμᾶεις, αὖγλη αὐγλήεις. ἄορ.] ἄορ, τὸ ξίφος, συνείως δὲ ἡ σπάθη· ἐπισκολογηθείη δ' ἂν ἀπὸ τοῦ αἴρω τὸ φονεύω, ἢ ἀπὸ τοῦ σκιρτικοῦ καὶ τοῦ ὁρῶ, τὸ πτοιῶν τὸν ἄνθρωπον μὴ ὁρᾶν· ἀφαιρετικὸν δὲ ἐμποιητικὸν τῶν ξίφος. ἐκ τελαμῶνος.] τελαμὼν, ὁλόρος· ὁ ἀπαιωρούμενος τοῦ ξίφος καὶ ἀσπίδος, ἀπὸ τοῦ τλῶ τὸ ὑπομένω, ὡς παρτικὸς, καὶ ἰσχυρὸς, καὶ βασταστικός. Πᾶν ἡμιτάρτιον.] φρένες, ἤμουν ὁλόγισμὸς, ἀλλ' ἦδη καὶ ὑμᾶς τὶς ὁ ἀνθρώπους καλεῖται. τὸ γοῦν μὴ τὰς σωματικὰς ταύτας φρένας κατέχαντι ἐν τῇ ῥάχει μέρος τοῦ σώματος, μεταφορικὸν λέγομεν, καταχρηστικῶς δὲ καὶ πᾶσαν τὴ ῥάχιν μεταφορικὸν λέγεσιν. Γοργοῦς.] ἤμουν ἡ Γοργὼ τῆς Γοργόνος, ἀλλὰ καὶ ἡ Γοργὼ τῆς Γοργοῦς, ὡς τῆς Σκιαφοῦς, ἤτοι καὶ ἀνδρὸν καὶ ἀνδρεῖ, καὶ χελιδόνος καὶ χελιδοῦς. κίνυσις.] κίνυσις, ἤγουν κίνητος. ἡ πάσχ αἴγυρρη. θαῦμα ἰδέσθαι.] ἤγουν θαυμαστὴ εἰς τὸ ἰδεῖν καὶ θεάσασθαι αὐτῷ τινά. θυσσεν.] παρ' ὃ σπανῷ θύσσοι τὰ ἱερά, ἐντεῦθε δὲ θύσσουσι οἱ χρυσοχοοί, ἤγουν τὰ ἰδιοτικῶς πεχόμενα κομβία, ἤγουν κυμβία, ἀπὸ τοῦ θύω τὸ ὁρμῶ, διὰ τὸ εὐκίνητον καὶ εὐσάλευτον. σφεῖ χροτάφοισιν.] χροτάφους ὀνεῦθε τῷ κεφαλῷ ὅλῳ τόν ἀπὸ μέρους τὸ πᾶν χρόπαφος καὶ κυείως ἡ μιῶγξ ἡ μεταξὺ τῆς ὠτίων καὶ τῆς ὀφθαλμῶν. τὸ [Ἄιδος] ἢ χῖ μεταπλασμὸν χάριτος ἀπὸ τοῦ Ἀΐδης, ἢ εὐθεῖα ἐ Ἄϊδης, ἢ πλῆς Ἄϊος Ἄϊδος, ὡς Πάεις Πάεισος· γίνεται δὲ ἡ Ἄϊος ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ εἶδω εἶσω τὸ βλέπω, χῖ ἀόρατον καὶ ἀφανῆ. ὥσπερ ἀπὸ τοῦ τὺ στερητικοῦ, καὶ τοῦ εἶδω εἶσω τὸ γινώσκω, νῦις, ὁ ἄνοος. τὸ [ἐρίγωνται] ἤτοι καταγνίζεται. εἰγέω εἰγῶ σχετοτύπον, ὁ μέσος ἀόριστος εἰρίγην, καὶ ἐκ τούτου θέμα ἐρρίγω, ἡ μετοχὴ ἐρρίγων τοῦ ἐρρίγοντος, ἤγουν τρέμοντος. εἰγέω, ῥιγῶ τὸ ψύχομαι· εἰγέω εἰγῶ τὸ φείδομαι. ἐτιτάνετο.] τείνω τὸ ξαπλῶ διφθογγον, τιτάνω δὲ ὁ σημαίνει τὸ αὐτὸ, ἐ συνέλλεται δὲ διὰ τὸν ἀναδιπλασιασμόν. ἐρρώοντο.] ἔστιν ὄνομα δηλητικὸν ἐρωὴ ἡ ὁρμή, καὶ ἐκ τούτου ῥῆμα ἐρωέω ἐρωῶ, καὶ τὸ παθητικὸν ἐρωέομαι ἐρωοῦμαι, καὶ ὁ παρατατικὸς ἐρρωόμην. τὸ τρίτον τῆς πληθυντικῆς ἐρώοντο, καὶ συγκοπῇ τοῦ ἐρώοντο. αὐξάνει δὲ χρονικῶς κατ' ἐπένθεσιν τοῦ ρ', ὥσπερ καὶ τὸ ἔρδω τὸ πράττω ἔρρεξα ὁ παρατατικός, ὡς τὸ

Ἔρδον δ' Ἀπόλλωνι πλείονας ἑκατόμβας. τὸ [μαπέῖν) εἰς δεύτερον ἀόριστον, ἀπὸ τοῦ μαίρω, τὸ καταλαμβάνω γίνεται μαρτεῖν, καὶ ἀποβολῇ τοῦ ρ' μαπεῖν κατ' ἐπέκτασιν καὶ τὸ [βαπτεῖν] ἤτοι ἐπέκτασιν ἔχει τὸ ε. Δοιὼ ἀπαμείρυτ'.] τὸ θῆμα, αἴωρῶ, τὸ κρεμῶ, καὶ τὸ παθητι-

πολιτικὸν αἱροῦμαι, καὶ ὁ ἐξηγητικὸς ἀφαιρεῖται. τὸ πρῶτον τῶν πλουσιωτικῶν παραιροῦντο καὶ ἀορίστου Λιολικοῦ, καὶ ἀπαρεμφάτου. ἐπικυρτώτατα καίρια.] ἀκαίρως καὶ κρεῖς, καὶ τὸ κάρα καὶ τὸ κάρηνον.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

ἐκπέπτωκε Περσεύς.] κατὰ τὸν γλωσσογράφους, ἐκπέπτωκε ἄντικρυς φυγάδα. ἐπεὶ ὁ πάππος Ἀκρίσιος ἐξέβαλεν αὐτὸν, ἐκ δὲ εἰσαγγ. ἔπεμψε χρήσων ὁ Περσεύς. Παῖ ἦ μετάφρασον.] τέτρωσο δὲ τὴν χεῖρα ὑπόπου συνατεῖχεν. Ἄλλως. ἐδάσασε ἐν δικτυῷ τινι ἀγγείῳ τὴν κεφαλὴν τῆς Γοργόνος ὁ Περσεύς· τὸ δὲ ἀγγεῖον ἐκεῖνο ἔκλεπτε τὸ μετάφρενον αὐτῷ. ἀμφὶ δὲ μοι πίθωνος.] κυβωτὸς ἢ πίθος μέγιστος εἴρηται, ἔνθα τὸ ἐκεῖ πεδὸς τὴν βάσιν ἢ παρὰ τὸν πῆχυν τὸ περιόνδυμα καὶ ὁμοίως ἡ εἰς τὸ πίσω καὶ ναὶ βάσιν ἔχουσα, πυτίσκη βορίν. Κεῖτ' Ἀΐδος.] ἀνέκρινε δὲ δηλονότι τὴν κεφαλὴν πάρος, ἤγουν ἀφαιρεσία, ὅπως δέδωκεν αὐτῷ ἡ Ἀθηνᾶ, τῷ μὴ θεωρεῖν αὐτὸν ὑπὸ τῆς Μεδούσης, ἢ ἵνα μὴ πρὸς θάνατον ὁρᾷ ἔνθα καὶ τὴν Γοργόνων καὶ Ἀπόλλω. τὰς κεφαλὰς καὶ ἀφαιρεσίας ἐδέξαντο. Αὐτὰς δὲ ἀποδοῦναι] ἔπαιδεν, ἐφοβεῖτο. εἰς γὰρ φόβον ἐφαίνετο τὰς Γοργόνας. αὖθις γὰρ ἐδίωκον πεφυμιμέναι καταλαβεῖν. μένε δ' ἐχέφρασον.] τῇ ὀργῇ δὲ, εἰς αὖ ὑπὸ τῆς μανίας τὰς ἀδύτας αὐτῶν ἐν τῷ σκιᾷ ἐχέφρασον δάκτυλος. ὀφιόσχιστοι γὰρ εἰσιν.

Ἄγρια δερκομένων· δεινὴ δ' ἐπὶ δαιτὶ παρειὰς
Γοργείους ἐλάνειτο μέγας Φόβος· οἱ δ' ὑπὲρ αὐτέων
Ἄνδρες ἐμαρνάσθην πολεμήια τεύχε' ἔχοντες.
Τὼ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων
Λοιγὸν ἀμυνόντε· τοὶ δὲ φρασθέντε μεμαῶτε.
Πολλοὶ μὲν κέατο, πλέονες δ' ἐπιδεύεσκον ἔχοντες
Μαρνάμεν· αἱ δὲ γυναῖκες ἐϋδμήτων ὑπὸ πύργων
Χάλκεον ὀξὺ βόων, καὶ δ' ἀμφίπεσον παρειὰς
Ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ' οἱ πρεσβῆες ἔσαν, γῆράς τε μέμαρπτον,
Ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἀν δ' ἑτάροισι
Χεῖρας ἔχον μακάρεσσι, θεοῖς σφετέροισι τένοντες·
Δειδίότες· τοὶ δ' αὖτε μάχην ἔχον. αἱ δὲ μετ' αὐτὰς
Κῆρες νυκτέαι λευκοὺς ἐρεβεννὸν ὀδόντας
Δεινωποὶ, βλοσυρόν τε, δαφοινόν τ', ἀπλητόν τε,
Δῆριν ἔχον θοὸν ἔμπεσον. πᾶσαι δ' ἀρ' ἵεντο.
Αἱματόεσσαι πέσον· ὃν δὲ πρῶτον μεμάασιν
Κείμενον ἢ πίπτοντα νοήσεσθαι, ἀμφὶ μιν αὐτῷ
Βάλλ' ὄνυχας μεγάλους. ψυχὴ δ' Ἀϊδόσδε κατῆιε
Ταρταρόεν εἰς χῦσιν. αἱ δὲ φρένας αὖτ' ἀέροντο
Αἵματος ἀνδρομέου, τὸ μὲν ῥίπτασκον ὀπίσσω,

Crudele tuentes ſupra ſeras autem capita
Gorgonum agitabatur magnus terror, ac ſupra ipſas
Viri pugnabant, bellica arma habentes.
Hi quidem pro ſua ciuitate, ſuiſque parentibus,
Peſtem depellentes: illi autem depopulari ſtudentes.
Ac multi quidem iacebant, plures autem etiam pugnam tenentes.
Dimicabant. mulieres autem a bene conſtructis turribus
Æreum acutum clamabant, lacerabanturque genas,
Viuis ſimiles, opera inclyti Vulcani.
Viri autem qui ſeniores erant, & ſenectutem apprehenderant,
Conſerti extra portas ibant, ſurſumque dii
Manus tendebant beatis, pro ſuis liberis
Metuentes. illi a contra pugnam conferebant. poſt ipſos autem
Parcæ nigræ candidis crepantes dentibus,
Torux terribileſque, cruentæque, inacceſſæque
Certamen habebant de ils qui cadebant: omnes enim cupiebãt
Cruorem nigrum bibere. Et quem primum ſorte ceperant
Iacentem & cadentem recens ſanguinem, ei quidem
Iniiciebant vngues magnos, animamque ad Orcum abibat,
Tartarum in frigidum illæ autẽ præcordia poſtquã exactia eſſent
Sanguine hominis, ipſum quidem abiiciebant poſt tergum:

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Τ πρώτου δέ (φησι) τῆς Γοργόνος, ἐν τῷ πλάτει τῆς ἀσπίδος, ἄνδρες ἐμάχοντο μετ' ὅπλων· οἱ μὲν μαχόμενοι ὑπὲρ τῆς ἰδίας πόλεως, καὶ ὑπὲρ τῆς ἰδίων γονέων· οἱ δ' ὁρμῶντες πορθῆσαι τὴν πόλιν, πολλοὶ μὲν ἔκειντο ἐξ ἑκείνων, οἱ πλείονες δὲ ἐμάχοντο ἔτι, αἱ δὲ γυναῖκες ἐπάνω τοῦ πύργου ἱσάμεναι μέγα ἐβόων καὶ ἐθρηνοῦσαι. κατέξεον δὲ τὰς παρειάς, ζώσαις ὅμοιαι. ὅπερ ἴδιον ἔργον τῆς κλυτῆς Ἠφαίστου, ὕλην ὑπτιάδημα καὶ σφόρισμα τῷ κατασκευάσαντι τὴν ἀσπίδα. ἄνδρες δὲ γέροντες ἐκ μὲν τῆς πύλης τῆς πόλεως ἐξῆλθον. ὕψουν δὲ τὰς χεῖρας αὐτῶν πρὸς θεοὺς ὑπὲρ τοῦ τείχους ἑστῶτες φοβούμενοι· οἱ δὲ παῖδες αὐτῶν ἐμάχοντο. αἱ δὲ κῆρες, ἤγουν αἱ θανατηφόροι μοῖραι μέλαιναι ἦσαν τὴν ζωγραφίαν, ὁπόσοι ἦσαν μαχόμενοι ἵσαντο πρύζουσαι τοὺς ὀδόντας. φοβεραὶ δὲ καὶ φονικαὶ καὶ ἄγριαι ἦσαν ἐμάχοντο ὑπὲρ τῶν πεπόντων, ὁρμῶσαι ὡσεὶ γύπες ἢ κόρακες εἰς τὰ πτώματα ἐπιθύμουσι πιεῖν αἷμα μεμιαμμένον, ὃν δὲ φωτὸν κατέλαβον νεόρρωτον, τοῦτο μὲν τῷ σώματι ἐπέπιπτον τὰς μεγάλας ὄνυχας, ἡ ψυχὴ δ' ἐκείνου κατήρχετο εἰς ᾅδου τὸν ψυχεινὸν καὶ ψυχρὸν τάφαρον. αἱ δὲ χεῖρες ἦσαν ἐπλήσθησαν τοῦ ἀνθρωπίνου αἵματος, ἐκεῖνον μὲν ἔρριπτον ὀπίσω, ὑπέστρεφον δὲ εἰς τὸν πόλεμον πάλιν.

Τρεῖς φασὶν εἶναι τὰς μοίρας Ἕλληνες· Κλωθώ, Λάχεσιν καὶ Ἄτροπον. τὴν μὲν ὡς ἐπικλώθουσαν ἐπὶ ἑκάστῳ τῆς τοῦ γένεσιν τὸ εἱμαρμένον. τὴν δὲ Λάχεσιν ἀπὸ τοῦ λαγχάνω, ὡς ἐπικληροῦσαν τῷ μὲν ἀγαθὸν, τῷ δ' ἐναντίον τὴν δὲ Ἄτροπον, ὡς πιοῦσαν τὸ ἀποκληρωθὲν ἀμετάστρεπτον. τὸ [ἐμαρνάσθην] ἀπὸ τοῦ μάρνημι τὸ μάχομαι, ἢ τὸ παθητικὸν μάρναμαι. μαρνάω ἢ μαίνω τὸ μάχομαι, ἀπὸ τῆς μὴ στρητικῆς μοείας καὶ τοῦ ἀρνῶ τὸ διαλλάσσω. ἐν ταῖς διαλλαγαῖς γὰρ οἱ παλαιοὶ ἄρνας ἔθυον. πολεμίϊα.] τὸ πολεμίϊον πολέμιον λέγεται κατὰ συγκοπὴν καὶ διαλύσει πολεμείϊον καὶ ἐκτάσει πολεμήϊον. τῇ [φραθέϊ] τὸ ἐπιτηδείῳ καὶ οἷον δυνατῷ, φραθεῖν, ἀπὸ τοῦ φέρδω εἰς δεύτερον μέλλοντα, καὶ μετάθεσιν τοῦ ρ, καὶ ἔκτασιν τοῦ ε φραθέϊ. τὸ [κέατο] Ἰωνικόν ἐστι. τὸ μὲν γὰρ κοινὸν ἔκειντο, τὸ δὲ Ἰωνικὸν κέατο, καὶ ἀφαιρέσει κέατο, ἀπὸ τοῦ ηρτο ἔκειντο, ἀφαιρεθέντος ἐπιτέθραπτο, ἐπιπεπόνθατο. ἡ μέσον δὲ ἀφαιρεθὲν τὸ α, ἐπλατύνθη καὶ ἐγένετο συστολὴ χωρεῖ ἐπὶ δυεῖν, τοῦ πεπόνθατο καὶ ἐπὶ δυοῖν.

δῆριν ἔχοντες.] δῆρις ἡ μάχη, ἀπὸ τοῦ δαίρω τὸ τύπτω. πρόσωπες.] ἴσον ὅτι πρόσωπες ὁ γέρων ἡ κλόνος πρόσωπον, ὡς μονογενὴς, ἀλλὰ πρόσωπος, συνεξακολουθῶν τῇ φήμῃ καὶ πλέκεται. ἐπεὶ γὰρ διὰ τοῦ ω μεγάλου κλίνεται ταῦτα οἱ Ἀττικοί, ἀναγκαίως καὶ πλατυσμὸν ἐπὶ φωνήεντος εἰς ε μεταβάλλουσι τότε ἡ ἀθεῖα τῶν πληθυντικῶν πρόσωπες, καὶ πλατυσμῷ τοῦ ι, ἡ προπὴ τοῦ ε εἰς η, πρόσωπες, καταβιβαζομένου καὶ τοῦ τόνου διὰ τὴν λογικὴν ἔκτασιν (ὡς πολλάκις εἴρηται) διαφορεῖται δὲ ἡ παραλήγουσα, ὥσπερ ἐν τῇ πτόνιος. καὶ γὰρ κἀκεῖ ἀπὸ τοῦ πτόνεως ἡ πλατυσμῷ τοῦ ι, ἡ κατὰ προπὴν τοῦ ε εἰς η πτόνιος γίνεται, διαφορούμενον χρὴ τῷ χαρακτῆρι. τὸ [ἴσαν] ἀπὸ τοῦ ἦσαν καὶ συστολῇ. τὸ δὲ ἦσαν, ὁ σημαίνει τὸ ὑξῆλθον, ἀπὸ τοῦ εἶμι. τοῦτο γὰρ παρατατικὸς ἐστί, τὰ πληθυντικὰ ἴμεν, ἴτε, ἴσαν. τὰ γὰρ εἰς μι ὅλα τῆς πληθυντικῶν καὶ παθητικῶν συστέλλει τὴν παραλήγουσαν. γῆρας τε μέμαρπτον.] μαρπτῶ τὸ καταλαμβάνω, ὁ μέλλων μάρψω, ἐάοριστος ἔμαρψα, ὁ δυτικὸς ἔμαρφον, καὶ Ἰωνικῷ ἀναδιπλασιασμῷ, ἐμέμαρπτον· τὸ πρῶτον τῆς πληθυντικῶν, ἀφαιρέσει τοῦ ε, μέμαρπτον.

Δεδιότες.] δέος θέμα, ἀφ' οὗ γίνεται καὶ τὸ δείδω, δίσυ, δέδικα· ὁ μέσος δέδια· δεδιὼς ἡ μετοχὴ, καὶ δεδιὼς κατ' ἔκτασιν. ἡ δειδὼ τὸ φοβοῦμαι, δείσω, δέδεμαι· καὶ ἀφαιρέσει τοῦ κ, καὶ συνολῇ τῆς ἀφαλαγίσεως, δέδια. ἡ μετοχὴ κατ' ἔκτασιν, δεδιὼς. πᾶσι δ' ἄρ'.] τὸ δὲ αὐτὶ τοῦ γάρ. οὐρὴ γὰρ τὸ δὲ αὐτὶ τοῦ γὰρ καὶ τὸ γὰρ αὐτὶ τοῦ δὲ, διὰ τὰ μέτρα. ὡς φ τὸ φραδέϊν, ὅταν καὶ τὸ πιέϊν πάθος ἔχει ἔκτασιν. ὅτι εἰς τὸ [Βάλλ' ὄρυχας] ἐμόνον χωρίζει, ὥσπερ καὶ ἐν τῷ [πρὸς ἀπαλοῖσιν] ἐ. τὸ [κατεῖσε] εἰς μέσον παρακείμενον, ὅτως· ἔω τὸ παρδόμαι, ὁ μέλλων ἔσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, εἶας, εἶσι· ἀφ' οὗ καὶ τὸ εἶμι ἦλθον εἰς ὑφαντέλιον κατ' ἔκτασιν Ἀττικήν.

Τάρταρον εἰς χρυόεσθ'.] ὅτι τάρταρος, ἀπὸ τοῦ τείρω τὸ δαμάζω, ὁ δ' ὅπερ ἀεὶ-

ἐς ἑταίρου, πάρος γὰρ γίνεται κατὰ τὸ [illegible] τάρταρος, ὥσπερ ἀπιρόν ἀπείρητον, δαίμο δαιδάλεα. αἱ δὲ ῥεῖναι εὖτ' ἀρέσαντο.]ἄλλως[εὔξαντ' ἔσαντο] ἵεντο, ἵω, τὸ πληθεῖν. ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧσα καὶ ἔσα κατὰ συστολήν, ὁ μέσος ἐκάμην τῷ [illegible] ἔσαντο. ἀπὸ τούτου γίνεται καὶ τὸ ἵεντο κατὰ συγκοπήν, παρ' Ὁμήρῳ, ὡς τὸ ἐξ ἔρον ἕντο καὶ τὸ ἵσαν εἰς πρῶτον ἀόριστον, κατὰ συστολήν.

πρεσβεύονται, ὡς τὸ γῆρας [illegible]. Οἱ δὲ μεμάρφθαι αὐτοὺς τὸ γῆρας.) ἀντὶ τοῦ καταλαμβάνει. τὸ δὲ πρεσβεύειν γίνεται ἀπὸ τοῦ πρεσβεύειν, ὅθεν ἴσως καὶ οἱ πρεσβευταί. Κῆρες κυάνεαι) ἀντὶ τοῦ κυανοῦ ἐζωγραφημέναι κατὰ τὴν ἀσπίδα, δῖναι [illegible]. εὖτ' ἀρέσαντο.] σημαίνει δὲ τὸ ἐχορτάσθησαν, ἢ εἰς ἄρεστον καὶ πλήρωσιν ἦλθον, ἐξ οὗ καὶ τὸ ἀρεστὸν ἐδωδαῖς. ἀντὶ τοῦ κακοσχημάτου [illegible]. ἀρέσαντο εὖ [illegible]φέσαντο.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Ἄνδρες δ' οἱ πρεσβῆες.] οἱ πρεσβύται, οἱ

Ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι,
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἣ μὲν ὑφήσσων
Ἄτροπος, οὔτι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα ἥ γε
Τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
Ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
Πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,
Χλωρή, ἀυσταλέη, λιμῷ καταπεπτηυῖα,
Γουνοπαχής· μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζ'. ἡ δ' ἄπλητον σεσαρυῖα
Εἱστήκει· πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,

Retro autem in tumultū & stragem festinabant iterum ire,
Clotho & Lachesis ipsis astabant, atque paulo minor
Atropos aeque cum erat magna dea: sed tamen
Aliis quidem praestantiorq. erat, & aeuo grandissima.
Omnes autem circa vnum virum pugnam acerbam instituebant.
Saeuoq. modo seipsas mutuo aspiciebant, oculis succensentes,
Inter se autem vngues manusque audaces exaequabant.
Iuxta autem & Caligo stabat, perustae similis, & grauis,
Pallida, aridaque, fame exhausta, & compressa,
Crassipes longique vngues a manibus prominebant.
Huius quidem ex naribus mucus manabat, ex genis autem
Cruor destillabat in terram. ipsa a. terribiliter dentes stringens
Stabat, multusque puluis constrauerat ei humeros,

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Σὺν τούτοις δέ (φησὶ) ἵσταντο ἐζωγραφημέναι ἐν τῇ ἀσπίδι καὶ αἱ μοῖραι. λέγω δὲ ἡ Κλωθώ, καὶ ἡ Λάχεσις. ἡ μέντοι Ἄτροπος, ἣ καὶ αὐτὴ μοῖρά ἐστιν, ἐλάττων ἦν, οὐ μεγάλη, ἀλλ' ὅμως τῶν ἄλλων θεαινῶν μεγαλωτέρα ἦν καὶ ἀρχαιοτέρα. πᾶσαι δὲ αἱ μοῖραι ἕνεκεν ἑνὸς νεκροῦ, πόλεμον ἐποίησαν ἰσχυρόν, καθάπερ γῦπες ἕνεκεν πτώματος. πρὸς ἀλλήλας δὲ ἔβλεπον δεινῶς, ἐνέβαλον δὲ χεῖρας καὶ πόδας πρὸς ἀλλήλας μαχόμεναι. πλησίον δὲ τῶν μοιρῶν ἵστατο ἡ ἀχλύς, ὡς θεά, ἤγουν ἡ ἐπὶ θανάτῳ σκότωσις, ἣν καὶ αὐτὴν προσωποποιεῖ ὁ ποιητής. ἦν δὲ κεκαυμένη καὶ ἀθλία, κατὰ τὸ χρῶμα χλωρά, κατάξηρος, συμπεπτωκὸς ἔχουσα τὸ πρόσωπον ἀπὸ τοῦ λιμοῦ, παχύπους, ὡς ὑδρωπικῶσα, μακροὺς ἔχουσα ὄνυχας, ὡς ἀτημέλητος. ἧς ἐκ τῶν ῥινῶν μύξαι ἔρρεον, ἐκ δὲ τῶν σιαγόνων ἐχεῖτο εἰς γῆν αἷμα. ἡ δὲ κατὰ πολὺ ἐκλελυμένη ἵστατο. πολὺ δὲ χῶμα ἐπέσχε τοὺς ὤμους αὐτῆς, ὡς ἀρρώστου καὶ ἀτημελήτου. ἦν δὲ καὶ ἐν δάκρυσι διάβροχος. σεσάρυια δὲ καὶ τοῦτο καθ' ὑπερβατόν, ἤγουν ἡ δὲ ἀχλὺς εἱστήκει, ἀπλήτως καὶ μεγάλως σεσηρυῖα καὶ ἐκλελυμένη, μυδαλέα καὶ διάβροχος οὖσα ἐν δάκρυσι. πολὺ δὲ χῶμα ἐπὶ τοὺς ὤμους αὐτῆς ἔκειτο. ταῦτα δὲ πάντα σημεῖα τοῖς ἐγγὺς θανάτου οὖσι, καὶ ἀφροσύνην, ἣ καὶ ἄλλα τοιαῦτα ἔχουσιν. Ἂψ] ἤγουν ὀπίσω, γνόντες ἀπὸ τοῦ ἐπίσω κατὰ ἔκθλιψιν

 θλιψιν

ὄλυψιν τῦ ὀ μικρῦ, ϗ βοὴν Δωρικὶ τῦ ὠ μεγάλε εἰς ᾱ, ϗ κεῖσιν τῦ π' ϗ σ' εἰς ψ', συγγραφομένε κατὰ πτῶσιν ϗ τῦ ἰ. μοῦλον.] ὁ σύλλεμ⊙, ὁ μὴ ὅλως ποιῶν τὰς ἀνδρώτυς, ἀλλὰ κολοβύς. ἤρπον.] τὸ ἅρμα, ἁρπατὸ βλέπω, ὁ μέλλων ἅρξω, ἀόριστος ἦρξα, ὁ ἀδύτερ⊙ ἄδυρκον, ϗ μεταθέσει τῦ ά, ἔδρακον, ϗ ἀφαιρέσει τῦ ὀ δράκον. αὐσαλέη.] ἡ κατέξηρ⊙, ἀπὸ τῦ αὕω αὔσω τὸ αὐσμίζω. αὐσαλέα ϗ αὐσαλέα προτῇ Δωρικῇ τῦ ὑ εἰς ᾱ. τὸ [κατατπτῆκε] ϗ ἀπὸ τῦ πτάω τὸ μὴ φόβε κεῖμαι ϗ ὑπὸ τῦ πτῶμι, βοτῇ τῦ ὠ μεγάλε εἰς ὑ. εἰς ῶδε κείμενον ὑποδολὴ τῦ κ'. κατατπτωκὼς ἤ λέγεταί πε ὑπὸ λιμῶ, ὁ τὰς σάρκας κεκλασμένος ϗ ὑπολωθεὶς. τὸ [σισαφῆ α] ἐκ πεῦθα ταυτὸ δηλώσεται τῇ κατατπτῆκε. σαίρω γὰρ δὲ τὸ μετλῶ, ὁ μέλλων σαρῶ, ὁ μέσ⊙ πεσκείμην⊙ σίσπερα ϗ σέσαρα· σισπρῆκε γάρ, ἤγουν ἀκούστὸ π μεσδίεσμα πάχυνα, ϗ οἱονεὶ χαίνω ἀπὸ λοιμοσαρκίας, ϗ τ' τῦ δέρματ⊙ ῥυπώσεως. κατανήοδον.] τὸ δῆμα, δέω τὸ πέχω, ϗ μετ' τ' ου ἀορίστυ ἐνέθεον, ϗ μετάθεσιν ἐνέδω· ὁ μέλλων ἐνέσω, ὁ πεσπεμένος ἔνεκα, ὁ μέσ⊙ ἔνοδα, ϗ Ἀττικῶς ἐνήοδα, ἐνήοδος, ἐνήοδον, ἤγουν ἐστόχασε.

ΙΟΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Κλωθὼ ϗ Λάχεσις.] ἡ μὲν Λάχεσις ἐν ἀντῇς ἐλαχεστέρα ὡῖ τῆς Κλωθῦς, ϗ τῆς Ἀτρόπυ, ἀλλ' ὅμως πρεσβυτέρα ϗ ἀφορμετέρα. κατατπτῆκε.] κατεσκληκῦα, ἀπίσω⊙. τοῖς γὰρ φοβυμένοις φεύγειν,

Δάκρυσι μαδαλέη. πόλις δ' ἀνδρῶν.
Χρύσεαι δέ μιν εἶχον ἀμφιθυρείοις ἀέρῃσι
Ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χορῇς τε
Τέρπν' ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώρευ ἐπ' ἀπλυίης
Ἤγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ἐπὶ δμώων. ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
Πρόσθ' ἔκιον, τοῖσιν δὲ χορὸν παίζοντες ἕποντο.
Τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἀπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα·
Ἔνθεν δ' αὖθ' ἑτέρωθεν νέοι κάμπαζον ὑπ' αὐλῷ,
Τοίγε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ ϗ ἀοιδῇ,
Τοίγε μὲν αὖ γελόωντες· ὑπ' αὐλητῆρι δ' ἕκαστος
Πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χορεί τε

Lachrymis humida. iuxta autem turritâ ciuitas hominum.
Aureæ autem ipsam tenebant sepetiliminaribus adapratæ
Septem portæ: hominesque in voluptatibus & choreis
Oblectationem capiebant. Alij siquidem fabrefacto in curru
Durebant viro vxorem, multusq; hymenæus excitabatur.
Et procul ab ardentibus facibus fulgor resplendebat,
In manibus famulorum. Mulieres autem venustate florentes
Præibant, quas chori ludentes sequebantur.
Atq; hi quidem canoris tibijs emittebant cantum.
Et tenero ore, circumque ipsos repercutiebatur sonus.
Illæ autem ad modulationem ducebant chorum amabilem.
Inde rursum ex alia parte innenes comessabantur ad fistulam,
Alij quidem contra ludentes saltatione & cantu,
Alij autem contra ridentes. ante tibicinem autem singuli
Præcedebant, totamq; ciuitatem lætitiæ, choreæque

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Πλησίον δέ (φησιν) ἐκείνων ὡῖ πόλις δῖκπτος. χρυσαῖ δὲ πύλαι ἐφύλασσον τὴν πόλιν ἐκείθεν ἑπτά, ἠρμοσμέναι ϗ κεκλεισμέναι ἐν ἰσόθυρείοις, ἤγουν τῇ φλιᾷ, ἢ ἐν πλοίοις. ἐξ ὧν ϗ λέγει, τὰς ἑπταπύλους θήβας τοιῦν δίδωσι. οἱ ϗ ἄνδρες τ' πόλεως ἐφρόντιζον ἔντε χορεῖς ϗ ἄλλαις ἐφροσύναις. οἱ μὲν γὰρ ἦγον αὐδὴν πὶ νύμφιον ἑπόμενα ἁμάξῃ δυσώπτε, ϗ δι' ὀδύρμε. δύσωπτος γὰρ τὸ πύλη τῇ ζχῇ σίδηρος. ἠγείρετο ϗ πολὺς ὕμν⊙, ἤγουν ὑπὸ θαλάμ⊙ φόδῃ. ἐν χερσὶ ϗ δάλων ϗ δάδων ἡμμένων ἔλαμπε πῦρ μακρόν. αἱ δὲ γυναῖκες θάλλουσαι τῇ τ' ἱματίων λαμπρότητι, ἠγοῦντο ἐμπροσθεν. ἐν ταύτῃς δὲ ἄλλοι χορεύοντες εἵποντο. ϗ τὸ-

των οἱ μὲν, ἄυλουν· κύκλῳ ἢ αὐτῶν ἐλαύνετο ὁ ἦχος τῆς αὐλῆς. αἱ δὲ γυναῖκας τῇ ῥυθμῷ τῆς αὐλῆς ἀκολουθοῦσαι ἐχόρευον. ἀπὸ ἢ τοῦ ἑτέρου μέρους νέοι αὐλοῦντες ἤρχοντο· οἱ μὲν ὀρχούμενοι, οἱ ἢ παίζοντες καὶ γελῶντες· ἕκαστος δὲ ὑπ' αὐλητῇ ἦκον καὶ ἤρχοντο, ἤγουν ἕκαστος εἶχεν αὐλητὴν, ὑφ' ᾧ ὠρχεῖτο καὶ ἔπαιζε. πᾶσαι δὲ τὴν πόλιν ἐῤῥοσυώσας καὶ λαμπρύνουσι εἶχον.

ὅπ τὸ [ἀφυῆς] συνολὴν ἔχει τοῦ ῡ εἰς ᾱ. ἀῤῥηῆς γὰρ τὸ ἐντελὲς, ἄπως, ἀῤῥῶ ἀρῶ, ὁ μέλλων. ἀρῶσω, ὁ μέσ☉ ὠρημένου ὦρα καὶ ἄρουρα Ἀττικῶς. καὶ Αἰσχύλ☉·

Ἄρηρε νῦν γ' αὐλὼν δυσπαλύτοις.

ἡ μετοχὴ ὁ ἀρηὼς, καὶ τὸ θηλυκὸν ἡ ἀρηῆα. ἀλλαὶ δὲ καὶ τὸ ὁράφει συνολὴν ἔχει τοῦ ῶ μεγάλου εἰς ὁ μικρόν. ὄ ῥω γὰρ τὸ θηγείρω, ὁ μέλλων ὀρῶ, ὁ μέσ☉ ὠρημένου ὦρα, καὶ Ἀττικῶς ὄρωρα, ὁ ὑπερσυντελικὸς ὤφελον εἰ ὀρώρειν· τὰ γὰρ Ἀττικὰ τὰ ἀπὸ βραχέων ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγαθύνονται ἐν τῷ ὑπερσυντελικῷ. ὥστε συνολὴν ἔχει τὸ ὀρώρει διὰ τὴν τοῦ μέτρου αἰτίαν.

Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων.] τὸ δαΐδων ἐντελὲς ἔχει τοῦ δᾷδων. ἀπὸ γὰρ τοῦ δαΐω τὸ καίω δαΐς καὶ δᾷς. ὀξυνόμενα δὲ τὸ δᾷς, βπ τὰ ὀξυνόμενα ἐν τῇ συναιρέσει πάλιν ὀξύνεται· ἴσαις ἴσαις, δαΐς δᾷς, καὶ τὰ πλείονα. σήλας εἰλύφαζε.] τὸ εἰλύφαζεν ἀπὸ τοῦ εἴλω ἡ λαμπρύνης, καὶ τοῦ φῶς τὸ λάμπω, δύο ταυτοσημάντων λέξεων. τεθαλυῖαι.] θάλλω, ὁ μέλλων θαλῶ, ὁ παρακείμεν☉ τέθαλα, ὁ μέσ☉ τέθαλα, ἡ μετοχὴ ὁ τεθαλὼς, τὸ θηλυκὸν ἡ τεθηλυῖα. ἴσασι.] ἤγουν ἔπιστον τὸ θέμα ἵστημι, καὶ ὁ παρατατικὸς ἵλη, τὸ πρῶτον πρὸ πληθυντικῶν ἴσασι. νέοι κώμαζον.] τὸ ἐκώμαζον, ἢ ἐπαγῳδοῦσι, ἀκολουθοῦντες τῷ αὐλῷ, ἢ ἐπὶ τιμῇ κώμου ἐπήρχοντο σὺν τῷ αὐλῷ. οἷόν ἐστι καὶ τὸ [Κωμάζω ποτὶ τὰν Ἀμφυλλίδα] ἐπὶ τῷ Θεοκρίτῳ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Χρύσειαι δέ μιν εἶχον.] ἰδοὺ καὶ πόλις ἐκεῖ, χρυσᾶς ἔχουσα πύλας ἐπαά. οἱ δὲ ἄνδρες τῆς πόλεως, οἱ μὲν ἔπαιζον, ἄλλοι ἢ ἐφ' ἁμάξης τύμβῳ ἐπῆρ ἔφερον.

Ἀγλαΐας τ' εἶχον. τοὶ δ' αὖ περιπάροιθε πόλιος
Νώθ' ἵππων δαπέδαπτε ἐθοντες. οἱ δ' ἀροτῆρες
Ἤρεπον χθόνα δῖαν· ὑπεζωσμένοι δὲ χιτῶνας
Εἶατ'. ἀυτὰρ ἔλειον βαθὺ λήϊον· οἱ μὲν ἔπειτα
Δρεπάνοις ὀξείῃσι κορυσσόμενοι πέπλα,
Βειθόμενα σταχύων, ὥσεὶ Δημήτερος ἀκτήν·
Οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον, καὶ ἔπληθον ἀλωήν.
Οἱ δ' ἐξύγων ὄπας, δρεπάνας ἐν χερσὶν ἔχοντες·
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρεον ὑπὸ ζυγητῆρων
Λευκοὺς καὶ μέλανας βότρυας, μεγάλων ὑπὸ ὄρχων,
Βειθόμενοι φύλλοισι καὶ ἀργυρέης ἐλίκεσσιν.
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρουν. μέσσῃ δέ σφισιν ὄρχος
Χρύσειος ἵστη, (κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο)
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι πάμαξι.
Τῷ μὲν ἅμ' αὖ παίζονται ὑπ' αὐλητῆρι ἕκαστος
Βειθόμενος σταφυλῇσι· μελαίνετο δ' ἄμπελος αἰδλ.

Voluptatesque tenebant. Alij autem rursus extra ciuitatem
Tergis equorum conscensis curtebant. aratores autem
Proscindebant terram bonam, alasque tunicas
Succinctas habebant: sed erat profunda seges, vbi alij quidem metebant
Mucronibus acutis rostrata folia,
Grauida spicis, veluti Cereris cibum.
Alij autem in manipulos ligabant & implebant aream:
Rursum alij vindemiabãt vineas, falces in manibus habentes.
Alij autem in calathis ferebant a vindemiatoribus acceptos
Albos & nigros racemos, magnis ex vitibus,
Grauidis foliis, & argenteis capreolis.
Alij rursus in calathis portabant, inxtaq; ipsos vitis
Argentea erat (inclyta opera prudentis Vulcani)
Agitata foliis, & argenteis petticis.
Inde quidem igitur ludunt ad tibicinem vnusquisque
Oneratus vuis, quæ ipsæ nigræ erant.

Οἱ μὲν ἐβάπτεον, τοὶ δ' ἤρυον, οἱ δ' ἐμάχοντο
Πυξ τε καὶ ἐλκηδόν· τοὶ δ' ὠκυπόδας λαγὸς ἤρων
Ἄνδρες θηρευταὶ, καὶ καρχαρόδοντες ἐκυσὶ πρὸ,
Ἱέμενοι μαπτῆναι, οἱ δ' ἔμενοι ὑπαλύξαι.

Alij quidem calcabãt in lacu, alij hauriebant, alij autẽ dimicabãt Pugnis & luctando: alij vero alipedes lepores venabantur,
Viri venatores, & serratis dentibus canes suos ante ipsos,
Cupientes assequi, illi autem cupientes effugere.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Τοὺς δὲ (φησι) τῆς πόλεως ἀπείπερ αἰσθάνεσθαι ἵππους ἐμπεσόντας τῆς πόλεως ἐπῆλθον. ἀροτῆρες ἢ ἠρετῆρες, ἀνεσταλμένως, ἤγουν ἀνεζωσμένους ἔχοντες τοὺς χιτῶνας. ἰωῖ ἢ καὶ χαρεῖον βαθύ. οἱ μὲν οὖν ἐκείνων ἐν δρεπάναις ὀξείαις ἐθέριζον τὰ πόπλα, ἤγουν τὰς ηλάδας τὰς ἀπορμυδριάνας, διὰ τὸ ἄσαχνα. τὰ καὶ καταβαρυμένα ὑπὸ τῆς ἀσαχύας, ἅτε δὴ δέσμον ὄντα τῆς Δήμητρος· οἱ δὲ ἐδέσμουν τὰ χειρόκολα καὶ ἔρριπτον εἰς τὴν ἄλωνα. οἱ δὲ ἐπεύγων ἀμπέλους, κεκαπωτῆρας μαχαίρας ἄλλοι δὲ ἔφερον λαμβάνοντες ἀπὸ τῆς ζυγώστου ἐν καλαθίσκοις βόστρυας λαδικὰς καὶ μέλανας ἀπὸ μεγάλων κλάδων καταβαρυμένους ἐν φύλλοις καὶ ἀργυρεῖς ἕλιξιν, ἃς ψαλίδας φαμὲν ἰδιωτικῶς. τοὺς μὲν δευτέρους λεγόμενον, οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρουν, δοκεῖ ἐπαναλῆψις εἶναι. συντέθεινται δὲ ἅπαξ. οἱ δὲ καὶ ἅπαξ ἤγουν οἱ εἰρημένοι, ἔφερον αὐτὰ ἐν ταλάροις. ὅτι δὲ καὶ τὰ μακρὰ κυρίζονται, δῆλον ἀπὸ τοῦ

Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ περ Ὄμηρος. τὸ δὲ

——χλυτὰ ἔργα φέρουσι Φαίσιοι, αὐτὶ τοῦ χλυτὸν ἔργον, τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ, καὶ Ὅμηρος·

Αἰεί τοι τὰ κακὰ δοκεῖ φίλα ἔμμεναι ἀνδρί, ἤγουν φίλον. πλησίον δ' αὐτῶν κλῆμα ἰωῖ χρυσοῦ, μέγα ἔργον τοῦ φρονιμωτάτου Φαίσιου στιλβόμενον καὶ κινούμενον ἐν φύλλοις καὶ ἀργυρέοις κάμαξιν, ἤγουν ἕλιξιν, ἃ χάραξι καταβαρούμενον σταφυλαῖς, αἱ μέλαιναι ἦσαν. οἱ μὲν οὖν τῆς ἀνδρῶν ἐκείνων τὰς σταφυλὰς ἐν τοῖς ληνοῖς (τοῦτο δὲ σημαίνει τὸ, ἐπιπλῶσι) ἢ συνέθλιβον τοῖς ποσίν οἱ δὲ ἤρυον καὶ ἤντλουν τὸν οἶνον. ἄλλοι δὲ ἐμάχοντο κορδυλίζοντες ἀλλήλους, ἤγουν τῷ χόνδρῳ βάλλοντες, καὶ ἀπὸ τῆς ἱματίων ἕλκοντες. οἱ δὲ ἐλυπήσουν λαγωούς, ἄνδρες ὁμοῦ κυνηγέται, καὶ ὀξυόδοντες κύνες, ἕμπροσθεν τῆς ἀνδρῶν προβάλλοντες, δηλονότι. οἱ μὲν κύνες ἐφιέμενοι κατέλαβεῖν τοὺς λαγωούς, οἱ δὲ λαγοὶ ἐφιέμενοι ἐκφυγεῖν.

προπάροιθε πόλη. τὸ [πόλη] ἔκτασιν ἔχει. πόλις γὰρ πόλις κοινῶς, καὶ πόλις ἰωνικῶς, καὶ βοιωτῇ τροπῇ τοῦ ε εἰς η, πόλη.

Ἤρεικον. ἤγουν ἔσχιζον. ἐρύκω τὸ κωλύω, ψιλόν· ἀφ' οὗ καὶ ἔρυξ ἕρυκος κύκλον. ἐρείκω δὲ τὸ κόπτω δίρθογγον. ἀφ' οὗ καὶ ἔστιν ἐρεικτὸν, ὡς παρὰ τῷ Αἰσχύλῳ·

Ἕστιν καπρείκτου χύτρας δυὴ βρῆς.

τὸ [ὀπισθόδην] ἀντὶ τοῦ κοσμίως, καὶ ἀνεσταλμένως, τὸδε [Ἐστάλαται] ἤγουν Ἐστάλαται, ἀντὶ τοῦ ἀνεζωσμένοι ἦσαν. οἱ γὰρ ἐκεῖ ἐργασίαν ἀσχολούμενοι ἀνεζωσμένοι τὰ ἄκρα ἱματίων εἰσὶν. Ἰωνικὸν δὲ τὸ [Ἐστάλαται,] ὡς τὸ τετύφαται, ἀπὸ τοῦ στέλλω τὸ κοσμῶ, ὅ τὸ πρίσον σχῆσον τοῦ παθητικοῦ συμπεπλεγμένου ἐσταλται, καὶ πλεονασμῷ τοῦ α ἐστάλαται, τὸ πρίσον τ πλεθωπικὸν τὸ [κορυνιόεντα] δηλοῖ. καὶ γὰρ καὶ κορωνιόεντα χάλκεα, ἤγουν μέλανα· καὶ γὰρ τὰ ἀσταχύων οἱ μὲν λαδικοὶ, οἱ δὲ πυρροὶ, οἱ δὲ μέλανες, οἷς καὶ τὰ ἄλλων διαφοράτερα· ὃ κορυνιόεντα, ἤγουν ραβδώδη, καὶ δ' ὀλιγαρκίας δ' ὄγκα· κορυνὴ γὰρ ἡ ῥάβδος.

οἱ δ' ἄρ' ἐν ἀλωάσιν] ἀλωάδες ὁ δεσμὸς, ἀπὸ τοῦ ἕλω τὸ κρατῶ καὶ τοῦ δέω τὸ δεσμῶ, δύο ταυτοσημάντων λέξεων, καὶ ἅπαξ λεγόμενον] ἄλλως [καὶ ἅπαξ εἰρημένον.] τὸ πίτνω ἀπὸ τοῦ πέτω, πλεονασμῷ τοῦ ν ἔστι γὰρ πίτνω πετῶ· ἀλωὴ, ὁ ἁμαλὸς τόπος, ἐν ᾧ τὶς ἀλωᾶται καὶ συντρίφεται σάχυας. ἡ μὲν οὖν ἄλως, ἡ καὶ ἀλων λέγεται, καὶ ἀλωὴ, ἡ μὲν πεπᾶσα ἀλωὴ καὶ ἄλως, καὶ γὰρ αἱ ἀμπελῶνες χωροὶ ἀλωαί.

οἱ δ' αὖτ' ἐς ταλάρους] τάλαρος ὁ πλεκτὸς θίσκος, ἀπὸ τοῦ ταλάω καὶ πάσχω εἶναι, ἤγουν βαστακτικὸς τοῦ ἐντὸς ὄγκου. τὸ [ἐφέρον] καὶ ἤρων, καὶ τὰ τοιαῦτα Αἰολικὰ εἶσιν ἀπὸ τοῦ ἐφέρομι καὶ ἤρομι γινόμενα, ὅταν τὸ ε εἰς ο.

ἀπὸ

ἀπὸ βυγατήρων.] βυγατὴρ ὁ βυγὼν, οἷς ἰατήρ. καὶ ἀγυρτῆς λέγεται] ἐλέγετο, ἤγουν φασίν ἰσέον ὅτι οἱ ποιηταὶ τὰς εἰς ῆς λήγουσας δοθείας τῆς πληθυντικῶν, προσιθέντες τὸ ί, ποιοῦσι δοτικὰς τῆς πληθυντικῶν, οἷον αἴαντες αἰαῦτισιν, ὄρυχες ὀρύχεσσι, ἕλικες ἑλίκεσσι· ἕλιξ δέ ἐστιν ἡ λεγομένη τῷ κλήματι φαλίς, ἀπὸ τοῦ ἑλίσσω τὸ συστρέφω γινομένη· συνεστραμμένη γάρ ἐστι καὶ ἐπικαμπής. καὶ ἀγυρτέοισι κάμαξι.] κάμαξ, εἰ μὲν τινὶ ἕλικα σημαίνει ἀπὸ τοῦ κάμπτω, οἷς ἐπικαμπής, εἰ δὲ τινὶ χάεσκα, ἀπὸ τοῦ κάμνω· κάμνει γὰρ τὸ χαεσκέσιον αὐτὸν τὸ κλῆμα. καρχαρόδοντα κυνός,] χαυλιόδοντα μὲν λέγουσι, ὅσα ἔχουσι τοὺς ὀδόντας ἐξεστηκότας τοῦ στόματος, οἷον ἐλέφας καὶ χοῖρος. καρχαρόδοντα δέ, ὅσα ἐντὸς μὲν ἔχουσι τοὺς ὀδόντας, ἀλλ' ὀξεῖς, καὶ οἷον κεχαραγμένους, οἷον λέων, πάρδαλις, λύκος, κύων.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

κορωνοῦντα πέπλα.] τὰ ἐπικαμπῆ ἡμᾶ πήματα κατεχρήσατο. πέπλα γὰρ τὰ φύλλα λέγουσι. λέγει δὲ τοὺς ἐπικαμπεῖς κάχυας. Ἄλλως. εἶδος αὖτε εἴδους ἐνταῦθα ἐδέξατο. ἔμελλε γὰρ εἰπεῖν τοὺς καρπούς, ἤγουν ἀσκάχυας, καὶ εἶπε φύλλα. ἀλλὰ δι' αὐτοῖο.) τὰ κοῖλα τῆς ἀσκαχύου λέγει. ἔπλετον.] ἐπλήρουν, ἢ ἐξέτεινον· ὅθεν τὸν ἄλω· τοῦτέστιν ἔψυχον, ἔπλουν ὅθεν τὸν ξηραθλοῦσι. κάμαξι.] σημαίνει μὲν ῥάβδους, ἢ κάλαμους τοὺς ἀμπέλους φυτοφεργοῦσι. ἀρσενικῶς δὲ σημαίνει τὸ ὄρυγμα, ἢ τοὺς πασσάλους, τοὺς θεοὺς ἢ τῆς πολεμίου ἐρωῆς. ἄρη δὲ παρὰ τὸ καμεῖν. Πυξὶ καὶ ἑλκυδὸν.] τὶς ἑλκύσει τὸν ἕτερον θεὸς ἑαυτόν. τῇ χειρὶ ἕλκοντες ἀλλήλους, καὶ συὶ ἀγωνιζόμενοι.

Παρ' δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἄεθλοις
Δῆριν ἔχον καὶ μόχθον. εὐπλεκέων δ' ὑπὸ δίφρων
Ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους,
Ῥυτὰ χαλαίοντες. τὰ δ' ὑπερθύοντο πέτοντο
Ἅρματα κολλήεντ', ὀρυμαγδὸς δὲ πολὺς μετ' αὐτοῖς.
Οἱ μὲν ἄρ' ἀΐδιον εἶχον πόνον· οὐδέ ποτέ σφιν
Νίκη ἐπηυδᾶτο, ἀλλ' ἄπρηκτον εἶχον ἄεθλον.
Τοῖσι δὲ καὶ τετύκτο μέγας ξίφος ἐντὸς ἀγῶνος
Χρύσεος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.

Iuxta ipsos autem & equites habebant laborem, proq. præmiis
Certamen habebant & pugnam. bene iunctis autem in curribus
Aurigæ stantes, immittebant veloces equos,
Habenas laxantes. illi autem subsultantes volabant
Currus sertuminati, rotarumque modioli valde ex eo resonabát.
Illi quidem igitur perpetuum habebant laborem, neque enim dum ipsis
Victoria completa erat, sed indefinitum habebant certamen.
Ipsis autem etiam propositus erat magnus tripus intra agonem,
Aureus, inclyta opera prudentis Vulcani.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Πλησίον δέ (φησι) ταύτης τῆς ἱστορίας ἵπποις ἀγωνίσαι ἠγωνίζοντο· ἕνεκα δὲ τῆς στεφάνων ἐμάχοντο, ἢ ἐν τοῖς ἀγῶσιν αὐτοῖς ἐμάχοντο. διαλεξάμενοι δέ τινες ἡνίοχοι, ἤγουν καβαλλάριοι, ἐπάνω δίφρων δικατασπλάσων ἀπόλυσιν τοὺς ταχεῖς ἵππους, ἐλαύνοντες τοὺς χαλινούς. τὰ δὲ ἅρματα τὰ κυρτούμενα, ἤγουν αἱ ἅμαξαι τῶν δίφρων, ἐτίνοντο τῷ ῥόμῳ τῆς ἵππου· αἱ τροχαὶ δὲ καὶ αἱ ῥύσεις τῆς ἁρμονίας, μέγα ἤχουν. οἱ μὲν οὖν διηνεκῆ εἶχον τὸν ἀγῶνα, οὐδὲ γὰρ ἐν ᾧ μεμερισμένῃ ἐν αὐτοῖς ἦτον νίκη, ἀλλ' ἐν ᾧ ἐπ ἀόριστος. ἔκειτο δὲ καὶ μέγας τρίπους ἐντὸς τοῦ ἀγῶνος, χρυσοῦς, ὑφασμένος ὑπὸ Ἡφαίστου, ἔργον ἐπαινετὸν τοῦ Ἡφαίστου.

Δῆριν ἔχον καὶ μόχθον] ἄλλως [καὶ μόθον.] μόθος ἀπὸ τοῦ μὴ οὐδέν, ἤγουν ὑπερφέρειν καὶ φροντίζειν ἄλλο τινὸς παράγματος τὸν μαχόμενον, ἀλλὰ μόνα τοῦ πολέμου γίνεται.

Ῥυτὰ] τὰ χαλινά, ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω, κυρίως δὲ τὰ λεγόμενα ῥέτζια. λώϊα, ὁ χαλινὸς, ἀπὸ τοῦ αἰῶ τὸ λύω, κημὸς ἀπὸ τοῦ κάμνω, φιμὸς ἀπὸ τοῦ ἴφιμος εἶ), ἤγουν σαρὸς, χαλινὸς ἀπὸ τοῦ χαλᾶν τὴν ἵππα. φορβειὰ ἢ τὸ καπίστριον τὸ τῇ φορβῇ τοῦ ἵππου ἁρμόζον.

Ἅρματα κολλήεντ'] κολλήεντα. ἡ κόλλησις

ἀχᾶς· χτὶ αἰμυνίας, ἢ χτὶ ἀσέρυστον, ὡς ὅτι ξύλων ἢ μετάλλων. ὅτι δὲ πλῆμναι μὲν αὐτῶν.] πλήμνη ἡ τῦ ἅχν τρύπη, ἡ πλησιόμενη ὑπὸ τῆς ἀξονίας, ἢ πλῆμναι αὐτὰ τὰ ἀκροξόνια. Νίκη ἐπινύδη.] ἤγουν ἐτελειώθη, ἀπὸ τῦ αὐόω. τῦτο δὲ ἀπὸ τῦ ἔω, τὸ πληρῶ. ἢ γίνεται ἄνω, ἢ ἄνω ἢ αὐόω, βοητῇ Δωρικῇ τῦ εἰς α', παρά πισι μέν τισι φιλῦται, παρά τισι δὲ δασύνεται. μίγας τρίτος ἐντὸς ἀγῶνος.] βίτος συγκοπῇ Αἰολικῇ τῦ· ἔστι δὲ τρίτος κρατὴς μίγας, βοῆς πόδας ἔχων, ὁ νῦν βαρβάρως λεγόμενος χοτζᾶς.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

ὅτι δὲ πλῆμναι.] πλῆμναι εἰσὶ τὰ ξύλα τὰ περιβάτου, τὰ τῇ ἄξονι αὐτερείδοντα, εἰς ἃ πολλάκις ἢ λίπος ἐμβάλλουσιν οἱ χωρεῖ, ὅτι τὸ ταχέως διατρέχειν τοὺς ἅπασαν ἅμαξαν. ἀλλ' ἄκεντον εἶχον ἄξθλον.] ἀλλὰ ἄθλον, ἤτοι τῷ μάχλῳ, εἶχον ἀδιαχώριστον. ὕδεις δὲ ἐκεῖνα, πάντες δὲ ἐπευφημοῦντο.

Α'μφὶ δ' ἴτυν ῥέεν Ω'κεανὸς πλήθοντι ἐοικώς·
Παῦ δὲ συνεῖχε σάκος πολυδαίδαλον· οἶδε κατ' αὐτὸν
Κύκνοι ἀεροπόῳ μεγάλ' ἤπυον· οἳ ῥά γε πολλοὶ
Νῆχον ἐπ' ἄκρῳ ὕδωρ. παρὰ δ' ἰχθύες ἐκλονέοντο,
Θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, εἵνεκα βελέων
Η'φαιστος ποίησε σάκος μέγα τε σιβαρόν τε,
Α'ρσάμενος παλάμῃσι. τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
Πάλλεν ὑπερφιάλως· ὅτε δ' ἵππειον θόρε δίφρον
Εἴκελος ἀστεροπῇ παίζοις Διὸς αἰγιόχοιο,
Κῦφα βιβάς. τῷ δ' ἰωὶ ὀχος κρατερὸς Ἰόλαος
Δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.

Circa extremam autem oram manabat Oceanus, inundanti similis.
Totum autem continebat clypeũ variegatum per ipsum autem
Cygni altiuolantes magnam clãgebant, qui illic multi
Natabant in summa aqua. iuxta autem pisces mouebantur,
Mirum visu, etiam Ioui grauitonanti, cuius consiliis
Vulcanus fecit clypeum magnumque validumque,
Componens manibus: quem quidem Iouis fortis filius
Iactabat facile: equestrem autem affiliit in currum
Similis fulguri patris Iouis, ægida tenentis,
Leuiter ingrediens. huic autem auriga fortis Iolaüs,
Bigis insistens regebat curuum currum.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Περὶ δὲ τοῦ εἶπεν (φησὶ) καὶ τοῦ περιφέρειαν, ἤγουν τὸ ἄκρον τῆς ἀσπίδος, ἵνα ὀζωγραφημένος ὁ Ω'κεανὸς, ἤγουν ἡ κύκλῳ τῆς θαλάσσης περίοικος πλημμυρουῦσα πρὸς πλάγια· περιεῖχε δὲ ὅλον τὸ σάκος τὸ ποικίλον. εἰς αὐτὸν δὲ τὸν Ω'κεανὸν κύκνοι μεγάλως ἐφώνουν, οἳ πολλοὶ ἔνηθεν ἐκεῖ εἰς τὸ ἄκρον ὕδωρ. ἐκλονοῦντο δὲ (τουτέστιν ἐκινοῦντο) καὶ ἰχθύες ἐκεῖ. θαῦμα γὰρ ἐκεῖνοις ἡ σοφία τοῦ Διΐ, δ' ὃν ὁ Η'φαιστος κατεσκεύασε τοῦ ἀσπίδα ἐκείνου. τοῦτο γὰρ τὸ σάκος ὁ Η'φαιστος ἐποίησε διὰ χόλους ἐν ταῖς ἰδίαις χερσὶν· ἐπεὶ δὲ ὠπλίσθη ὁ Η'φαιστος, αὐτίκα εἰς τὸν δίφρον, ὅμοιος ἀστραπῇ, κύφως. ὁδὲ Ἰόλαος ὁ ἡνίοχος σὺν τούτῳ ὑπέβας τῷ δίφρῳ ἡνιόχει τὸ ἅρμα.

Α'μφὶ δ' ἴτυν.] ἴτυς ἡ περιφέρεια τοῦ ἅρματος, ἤγουν ὁ γύρος, ἀπὸ τοῦ ἴω τὸ προέρχομαι, ἢ κύκλῳ δίνωσα. Ω'κεανὸς.] ὠκεανὸς ἀπὸ τοῦ ὠκέως ῥέων. μέγα τε σιβαρόν τε] σιβαρὸν ἀπὸ τοῦ σείω τὸ σκέπω, ἤγουν ἀόριστος ἔσιβον, τὰ γὰρ σιβαρὰ σκέπει πύλας ἢ τοίχους ἀπὸ τοῦ πατεῖσθαι.

Εἴκελος ἀστεροπῇ] ὅτι στεροπὴ καὶ ἀστραπὴ, καὶ ἀστεροπὴ, τὸ αὐτό ἐστιν· ἀλλὰ τὸ μὲν στεροπὴ ἀπὸ τοῦ στείσκειν ὅτος καὶ φωτός, ἀλλὰ τὸ πολλοὺς γίνεσθαι ἐμπαλίκτους καὶ ἐμβροντήτους ἀπὸ σφοδρᾶς ἀστεροπῆς· ἀστεροπὴ δὲ ἀπὸ τοῦ ὄπτεσθαι καὶ βλέπεσθαι εἰς ἀέρα· ἀστραπὴ δὲ ἀπὸ τοῦ εἰς ἀέρας ἰάπτειν καὶ πέμπειν.

Κῦφα βιβάς] τὸ [βιβὰς] ἀναδίπλωσιν ἔχει Γ' συντελικόν. βὰς γὰρ ἦν, ἀπὸ τοῦ βίβημι, εἰς δεύτερον ἀόριστον, ἢ χωρὶς συλλαβῆς παπικόν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

παρὰ δ' ἰχθύες ἐκλονέοντο] ἐπειδὴ εἶπεν ἰχθύες ἐκλονέοντο, ἐπήγαγε, θαῦμα ἰδεῖν καὶ αὐτῷ τῷ Διΐ, ὅτι διὰ βυλὰς ἡ ἀσπὶς ἐγίνετο.

Α γχίμο-

Ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
Καὶ σφέας θαρσυνέουσ' ἔπεα πτερόεντα προσηύδα.
Χαίρετε Λυγκῆος γενεὴ τηλεκλειτοῖο,
Νῦν δὴ Ζεὺς κρείτος ὔμμι δίδοι μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
Ἄλλο δέ σοι τί ἔπος ἐρέω μέγα φέρτατε λαῶν·
Εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
Τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέσθαι καὶ τεύχεα τοῖο,
Αὐτὸς δὲ βροτολοιγὸν Ἄρηα ἐπίστιον ἐνδύσας,
Ἔνθά κε γυμνωθέντα σάκεος ὑπὸ δαιδαλέοιο
Ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ' ἰτάμεν ὀξέϊ χαλκῷ·
Ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὐ νύτοι αἴσιμόν ἐστιν
Οὔθ' ἵππους ἐλάειν, οὔτε κλυτὰ τεύχεα τοῖο.

Prope autem ipſis aduenit dea cæſiis oculis Minerua,
Atq. ipſos confirmans verbis volucribus alloquebatur:
Saluete Lyngei progenies longe inclyti,
Nunc itaque Iupiter robur vobis dat, is qui beatis imperat,
Cygnumque interficere, & inclyta arma eius deſpoliare.
Sed tibi aliud verbum dicam, multo præſtantiſſime populorũm
Poſtquam igitur Cygnum dulci æuo ſpolianuetis,
Illum quidem tum eodem loco relinque, & arma ipſius.
Ipſe autem hominum peſtem Martem accedentem obſeruãs,
Vbi nudatum clypeo variegato
Oculis videris, ibi vulnera acuto ferro,
Retroque te recipe, quoniam tibi fas non eſt
Neque equos capere, neque inclyta arma illius.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Πλησίον δὲ αὐτῶν (φησὶν) ἦλθεν ἡ Ἀθηνᾶ, καὶ θαρσύνουσα αὐτοὺς εἶπε· χαίρετε οἱ ἀπὸ Λυγκέως τοῦ εὐδόξου καταγόμενοι, νῦν δὲ ὁ Ζεὺς δίδωσιν ὑμῖν νίκην, ὥστε φονεῦσαι τὸν Κύκνον καὶ ἐκδῦσαι αὐτὸν τὰ ὅπλα αὐτοῦ. σοὶ δὲ (ὦ Ἡράκλεις) ἐρῶ κἀγώ τι, ἵνα τὸν Κύκνον σκέψῃς ἀπὸ τῆς ζωῆς, τοῦτον μὲν ἄφες ἐκεῖ ἔνθα πέσῃ, καὶ τὰ ὅπλα αὐτοῦ. σὺ δὲ ἐπιστρέψας τὸν Ἄρη ἐπερχόμενόν σοι, ἔνθα ἴδῃς ἀπογυμνωθέντα αὐτὸν τοῦ σάκους, ἐκεῖ τρῶσον αὐτὸν μὲν τῷ δόρατι, ἀναχώρησον δὲ ὀπίσω, ἐπεὶ οὐκ ἔστι σοι εἱμαρμένον ἔτι τοὺς ἵππους τοῦ Ἄρεος λαβεῖν, οὔτε τὰ ὅπλα αὐτοῦ. τὸ [Ἀγχίμολον] ἐπίρρημά ἐστιν εἰς παραπλησίαν, ἐκ τοῦ μολῶ τὸ φθάνω μαι· σημαίνει δὲ τὸ πλησίον. Κύκνοιο τ' ἐξεναρεῖν.] ἐξεναρεῖν, ἀντὶ τοῦ φονεῦσαι· τὸ δὲ μαι, ἐναίρω τὸ φονεύω.

γλυκερῆς αἰῶνος.] ὅτι τὸ φερόμενον τὰ ἀρσενικὰ γίνεται θηλυκῶς, Ἀπίκιον ἐστιν, ὡς ἐνταῦθα [γλυκερῆς αἰῶνος] καὶ Πίνδαρος,

Ἐρήμους δ' αἰθέρος.

ἀμέρσῃς] ἀπὸ τοῦ ἀμέρδω τὸ ἀφαιρῶ· τοῦτο δὲ ἀπὸ τοῦ ἀμῶ τὸ θερίζω.

Ἔνθά κε.] τὸ Ἔνθα, ποτὲ μὲν σημαίνει τὸ ὅπου, ὡς τὸ [Ἔνθά κε γυμνωθέντα] ποτὲ δὲ τὸ ἐκεῖ· ὡς τὸ [Ἔνθ' ἰτάμεν.] ὅθεν ἀπὸ τοῦ ἐνταῦθα δεικτικοῦ γίνεται καὶ συγκοπτόν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Χαίρετε Λυγκῆος γενεή.] Λυγκεὺς ἦν βασιλεὺς τοῦ Ἄργους. ἀπὸ Λυγκέως δὲ Ἄβας, ὁ Ἀκρισίου, ὁ Δαναΐδου, ὁ Περσεύς, ὁ Ἀλκαῖος, ὁ τοῦ Ἡλεκτρύωνος καὶ Ἀμφιτρύωνος, τοῦ δὲ Ἀλκαίου, Ἡρακλῆς καὶ Γοργὼ, Γοργοῦς δὲ Γόλαος. Γίνος δὲ πᾶς φιλοσόφως δεκτέον καὶ τὸ ἔτι· ὡς Ἡρακλῆς, καὶ Ἀντίοχος, καὶ Λυσίμαχος, καὶ Κύπρος· καὶ δὲ καὶ γένος λέγομεν καὶ ἀπογόνων ἐχόντων· ὥστε ἐστὶ καὶ ἀφ' ἑαυτῶν ἀφορισμὸς, ὡς παρὰ τῷ Πορφυρίῳ μεμαθήκαμεν. τέκνα λαχθήσεσθαι οἱ Ἀρίστου τοῦ Λυσίνου, ὡς ἐκ πολλοῦ ἐξ ἑαυτοῦ. ὥσπερ οἱ Ἡρακλεῖδαι, καὶ Κυπροκίδαι, καὶ οἱ λεπτοί. σάκεος.] οἱονεὶ τοῦ σάκους. οἱ γὰρ Δωριεῖς ἀπὸ τῶν κλίνουσι· τὸ σάκος τοῦ σάκεος, τὸ βέλος τοῦ βέλεος. τὸ γὰρ ὸς, εἰς ους γράφεται. ἔνθ' ἰτάμεν.] ἀντὶ μὲν φησὶ μόνον, καὶ ἀναχώρει. ἐπεὶ οὐκ ἔμαρτὸ σοι ἔτι τοὺς ἵππους αὐτοῦ λαβεῖν, οὔτε αὐτὸν φονεῦσαι.

Ὡς εἰπὼν ἐς δίφρον ἐβήσατο δῖα θεάων
Νίκλιν ἀθανάτῃς χερσὶν καὶ κῶδας ἔχουσα
Εὐσυμέως. τότε δή ῥα δίογμιος Ἰόλαος
Σμερδαλέον θ' ἵπποισιν ἐκέκλετο. τοὶ δ' ὑπ' ὀμοκλῆς
Ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
Ἐν γὰρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη,
Αἰγίδι' αἰαστείσασα· φερέσπαχέϊ δὲ γαῖα.
Τοὶ δ' ἄμυδις προφέροντ' ἴκελοι πυρὶ ἢ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκάμαντας αὐτῆς.
Τῶν θ' ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
Ὀξέα χέμισαν, φερὶ δέ σφιν ἄγνυτο ἠχή.

So she spoke, & into the chariot mounted the goddesses
Victoriam immortalibus manibus & gloriam tenens
Certatim. Tunc igitur Ioui natus Iolaus
Horrendum equos increpuit. illi autem a comminatione
Leuiter ferebant celerem currũ, puluerem cientes per campum:
Nam ipsis animum addiderat dea cæsiis oculis Minerua,
Ægide concussa. ingemiscebat autem circumquaque tellus.
Illi autem pariter procedebant, similes igni siue procellæ,
Cygnus equũm domitor, & Mauis insatiabilis clamore.
Horum equi deinde obuiam sibi mutuo facti,
Acutum hinniuere, circaque ipsos reuerberabatur sonus.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Οὕτω συμβαλόσαμένη (φησὶν) ἡ Ἀθηνᾶ αἰδέσθη εἰς ἅρμα δίφρον, περσᾶσα ἐν ταῖς χερσὶ νίκλιν καὶ δόξαν, τετέσι, νικηφόρον ἕδρα αἰδέσθη εἰς τὸν δίφρον ἀσυνδέτως. τότε δὴ ὁ ἀπὸ Διὸς καταγόμενος Ἰόλαος μέγα καὶ φοβερὸν ἐφώνει τοῖς ἵπποις, καὶ διήγειρεν αὐτοὺς ποικίλοις κελεύσμασιν. οἱ δὲ ἵπποι διαρθιδέντες ὑπὸ τῆς ἀπειλητικῆς ἐκείνης φωνῆς ἤρων τὸ ἅρμα, ἔλκοντες ὁμοῦ τῷ τόπῳ ἐκείνῳ· ἐσάλευε γὰρ αὐτοῖς δυνάμει τῆς Ἀθηνᾶς, κινήσασα τὴν αἰγίδα. αὕτη γὰρ ἡ αἰγὶς ἦν τὸ δέρμα τῆς Ἀμαλθείας αἰγὸς· λέγει δ' αὖ ὁπουδήποτε Ἀθηναῖ μὲν τῷ Ἰολάῳ λιθοκλοπικὸν ὁπλισμὸν καὶ φρόνησιν· αἰγίδα δὲ, μύθους αἴτιον, ὃς δυμικωτέρους καθίσας τοὺς ἵππους· εἶτα φησὶν, ὡς ἀπὸ τῆς τοῦ ἵππου κινήσεως ἦχος ἡ γῆ κύκλῳ. τοῦτο δὲ ἐμφαίνει ἡ φερὲ φερέσπαχε· οἱ δὲ (ἤγουν ὁ Κύκνος, καὶ ὁ Ἄρης) ὁμοῦ ἦλθον, ὁμαλοῦ ἢ πνεῖ ἢ αὐλῷ ἑξῆς, καὶ οἱ ἵπποι τούτων αὐτικὰ ἰσάμενοι ἐξέας ἐχρεμέτισαν. ἤγετο δὲ κύκλῳ ὁ τῆς χρεμετισμοῦ ἦχος. τὸ [διήγειρε] συγκοπὴν ἔχει ἀπὸ τοῦ διηγείρετο, ἢ ὁ γραπτὸς, ἤγουν γνωσὸς τοῦ Διός· ἐπεὶ ὁ Ἰόλαος ἐκ κατήγετο ἀπὸ τοῦ Διός, εἰ μή τις τὸ αὐτόχθων ἰσχυρίζοιτο. γίνεται οὖν διήγειρε, καὶ ζωῇ συνίθει τὸ ἐμεγάλυνε εἰς ἡ, διήγειρε. τὸ [ἐκέκλετο] εἰς ὑπερσυντελικὸν ἀπὸ τοῦ κλέω, ὅθεν ἀπὸ τοῦ κεκλέσεται συγκόπτει. ἢ καὶ εἰς παρατατικὸν, ἀπὸ τοῦ κλέω, ὅ ἐστὶ ἀπὸ τοῦ κλῶ, καὶ συγκεκλῆν, καὶ φέρεσθαι ὁμοίως γίνεται. κονίοντες.] ἤγουν βέχοντες. ἐν δὲ τῷ τρέχειν κόνις ἤγουν χοῦμα ἐγείρεται, ἢ ἀπὸ τοῦ καίω τὸ ἐνεργῶ.

Τοὶ δ' ἄμυδις.] ὥσπερ ἀπὸ τοῦ ἄλλη, ἤγουν ἀλλαχῆ, τὸ ἄλλυδις· οὕτως ἀπὸ τοῦ ἅμα, τὸ ἄμυδις, ἤγουν ἅμα ἢ ἀμοῦ. τὸ [ἄγνυτο] ὃ, ἢ τὸ ἐφέρετο, ἢ τὸ ἐλᾶτο σημαίνει· καὶ ἀμφότερα δὲ συμβιβάζεται πρὸς τὴν ἔννοιαν. τὸ μὲν ἐφέρετο, ὅτι σῶμα ἡ φωνὴ, καὶ σῶμα φερόμενον· τὸ δὲ ἐλᾶτο, διὰ τὸ τῆς ἠχοῦς ὑστερόφωνον, διεσπασμένον ἐν καὶ ἡμίφωνον.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Νίκλιν ἀθανάτης χερσίν.] ἐναίρας διέσαλπεν τῆς Ἀθηνᾶς τὴν νίκλιν, ἐν ταῖς ἀθανάτοις αὐτῆς χερσὶ κατέχουσα τὴν νίκλιν.

Τὸν πρότερον προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶϊν ὀπίχετον ὠκέας ἵππους,

Atque hunc prior alloquebatur vis Herculea:
Cygne ignaue, cur contra nos tenetis veloces equos,

Ἀνδρά-

Ἀνδρώσων, οἵτε πόνων καὶ ὀϊζύος ἴδρεις ἐμῶν;
Ἀλλά πάρεξ ἔχε δίφρον ὠξύν, ἠδὲ κελεύθου
Εἶκε παρεξ ἰέναι, Τραχῖνα δέ τοι παρελαύνω
Εἰς Κήυκα ἄνακτα· ὁ γὰρ δεινάμει τε καὶ αἰδοῖ
Τραχῖνος προβέβηκε. σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός.
Τῷ γὰρ ὀπυίοις παῖδα Θεμιστονόην κυανώπιν.
Ὦ πέπον, ἦ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
Ἀρέσῃ, εἰ δὴ νῶϊ σωισόμεθα πολεμίζων.
Ἤδη μέν τέ φαμι καὶ ἄλλοτε πρόσθεν ἔγωγε
Ἔγχος ἡμετέρῳ, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
Ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
Τεῖς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ,
Οὐτᾶμένε σάκος· τὸ δὲ τέτρατον, ἤλασα μηρόν
Παντὶ μένος ἀφύσσων, ὄφρα δὲ μέγα σάκος ἄρραξα·
Πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ἔνθά κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη
Χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βεβρόσεσθαι.

Vtros qui laboris & arumnæ experti fumus?
Ad diuersum tene curtum bene politum, atque e via
Cede prætergrediendo: Trachinem enim tendo
Ad Ceycem regem: nam ille potestate pariter & maiestate
Trachini antistat. Tu vero satis admodum scis etiam ipse.
Eius enim connubio tenes filiam Themistonoen nigroculam.
O ignaue, non enim tibi neque Mars mortis exitium
Prohibuerit, si nos inter nos congrediamur bellando:
Iam ipsum quidem aio ante quoque aliquoties periculũ fecisse
Hastæ nostræ, quando pro Pylo arenoso
Aduersus stetit mihi pugnam insatiabiliter optans.
Ter siquidem ictu hastæ percussus sustinuit se terra,
Vulnerato clypeo: quarto autem transfadegi femur eius,
Totis animis festinans, magnumque illius clypeum perforaui.
Pronus autem in pulueribus humi prostratus cecidit hastæ impetu,
Vbi etiam ignominia affectus inter immortales fuit,
Manibus sub hostris telicis spoliis cruentis.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Πρὸς τὸν Κύκνον δέ (φησιν) εἶπεν ὁ Ἡρακλῆς, ὦ φίλε Κύκνε, διὰ τί ποθ' ἡμᾶς διαφέρεται τὸς ταχεῖς ἡμῶν ἵππους; τὸ γὰρ [διώκετο] αὐτὸ τῷ ἁρπάζειν ἔχει· γὰρ καὶ ἴσχυε τὸ φέρον. καὶ γὰρ καὶ ἡμεῖς ἐμπειροι ἐσμεν τῆς πολέμου, καὶ τῆς τοιαυτοπαθείας. ἀλλὰ ἄπαγε· ἡ δίωξον δίφρου ἐκτὸς, καὶ θέλησον ἐξελθεῖν ἀπὸ τῆς ὁδοῦ. καὶ γὰρ ἐγὼ σπεύδω τὴν Τραχῖνα· πόλιν ἀπέρχομαι πρὸς Κύκνα τὸν σὸν πενθερὸν, ὃς Τραχῖνος βασιλεύει. Κύκνος δὲ οὐ μόνον ὄνομα κύκνου, ἀλλὰ καὶ ὄρνεον ἔνυδρον. ἔστιν γὰρ καὶ πλησίον τοῦ Κύκνου τὰς εἰς Πυθῶνα θυσίας, ὁ Ἡρακλῆς τῷ Κύκνῳ ἀπαγγελεῖν τὸ γενόμενον ἐβουλήθησαν· οἷς δ' ἐρωτῶν τὸν Κύκνον διεμποδίζοντα, σφόδρα τοῦτον ἀνεῖλεν. ἢ ὅτι καὶ τὸν Κύκνα πολεμίως ἀπόσχετο συμβαλόμενος Ἀπόλλωνος, ὡς καὶ μὰ ἐμφαίνει τοῦτο Ἡσίοδος. εἶτα φησὶν· εἰ γὰρ κωλύσεις με, ἢ βοηθήσει σοι ὁ Ἄρης ὁ σὸς πατὴρ φονεύομενον ὑπ' ἐμοῦ. καὶ γὰρ λέγω, καὶ ἄλλοτέ ποτε ἀνεῖλε τὸν Ἄρεα ἀπαστέρα λαβεῖν τοῦ ἡμετέρου δορὸς, ὅτε ἐμαχόμην Νηλεῖ τῷ βασιλεῖ Πύλου, καὶ ὁ Ἄρης ἰώπτησέν με, μεγάλως κατ' ἐμοῦ ὀργιζόμενος· ἐν ᾗ τότε μὲν τοιοῦτος ὑπ' ἐμοῦ ἐτρώθη ἐν τῇ γῇ, πρωθέντος τοῦ σάκους αὐτοῦ. τὸ δὲ τέταρτον ἐν πάσῃ δυνάμει ὁρμήσας ἐγὼ ἐπαυσάμην τὸν αὐτοῦ μηρόν· ἔχουσα δὲ καὶ τὸ σάκος· ἔπεσε δὲ ἐπὶ γῆν ὅλος ὑπτίασπον, ὅτε δὴ καὶ ἐφύβισεν ἐν τοῖς θεοῖς γέλωτα, καταπονηθεὶς ὑπ' ἐμοῦ καὶ σκυλθείς. τὸ [πέπον] ἀντὶ μόνον τὸν φίλον σημαίνει, ἀπὸ μεταφορᾶς τοῦ πιπόνου, ὃς φιλεῖται ὑπὸ πολλοῦ· ἀλλ' ἤδη καὶ τὸν κεχαυνωμένον καὶ ἐκλυτον, ὁποῖοι εἰσὶν οἱ ὑπὸ τὸ μέσον πεπαγθέντες σίκλοι, ἢ ἄπροι. ἴσιον γὰρ, ὡς ἀντὶ μόνον τὰς ἀκμὰς φασὶν εἶπεν, ἀλλὰ καὶ τὰς ἀκμὰς, καὶ ἄλλως πλείονας καιρούς· καὶ Ὅμηρος ὠξάδιξατο ὅτε τοιούτῳ σημασίᾳ τὸν πέπονα,

Ὦ πέπονες Ἀχαιΐδες ἠύτ' Ἀχαιοί.

τὸ [εἰμὶ] ἀπὸ τοῦ ἐμὶν· κοινῶς μὲν γὰρ ὑποστίζεται τὸ σ, καὶ γίνεται ἐσμὲν· ποιητικῶς δὲ τὸ ι, καὶ γίνεται ἐμὲν.

Ἀλλὰ πάρεξ] ὅτι τὸ πάρεξ καὶ τὸ παρὲξ διαφέρουσι. τὸ μὲν γὰρ πάρεξ σημαίνει τὸ ἐκτὸς, καὶ

βαρώδης, καὶ συντόνου μὴ ἡμιπλῆς, ἔστι δὲ κοινόν. τὸ δὲ παρὲξ, ἢ τὸ ἐκτὸς μόνον σημαίνει, ἀλλὰ καὶ τὸ πλησίον, ὡς τὸ [παρὲξ ἅλα] ἤγουν ἐκτὸς, πλησίον τῆς θαλάσσης, καὶ ὀξυώδης, καὶ συντόνου μὴ αἰτιατικῆς· ἔστι δὲ καὶ ποιητικόν, ἐνταῦθα δὲ παρέξ δέ. τὸ [εἶκε] ἐνταῦθα τὸ θέλησον σημαίνει· ἔστι γὰρ καὶ εἴκω τὸ θέλω, ἀφ' οὗ καὶ τὸ ἑκών. εἰ δὲ μὴ, σημαίνει μὲν τὸ ὑποχώρησον. λαμβάνει δὲ ἐπεροσημάντως εἰς τιὰ σύνταξιν, ἤγουν ὅρμησον παρεξιέναι, ὡς καὶ παρ' Ὁμήρῳ, Βῆ δ' ἰέναι. σὺ δ' εὖ μάλα οἶδα] ὅτι τὸ οἶδα ὑπὸ κανονίζεται, εἶδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, ὁ μισ. ἐπιγαμήσω οἶδα, οἶδας, καὶ κατὰ σχηματισμὸν οἶδα δα, καὶ κατὰ συγκοπὴν οἶδα. τὸ [Πύλιε ἡμαθόεντ] Ἀπιλὸν ὄζον· ἐκεῖνοι γὰρ τὰ θηλυκὰ ἀποδιδόασιν ἀρσενικοῖς, καὶ αἰάπαλιν. τιθέτον ὄζον ἐν Βοιωτίᾳ, τὸ [κλειτὸς Γιπποδάμεια] καὶ τὸ [θῆλυς ἐέρση] καὶ παρ' Εὐριπίδῃ, τὸ [ἀγγελθεῖσα μοι γυναῖ] ἔφελλεν οὐκ εἰπεῖν ἐνταῦθα [Πύλιε ἡμαθοέσσης] ἢ Πύλ. γὰρ ὄζει θηλυκόν. τὸ [ἐτύχθη] ἀπὸ τοῦ τύκω, τὸ κατασκευάζω, ἀφ' οὗ καὶ τυκίον τὸ μυρίον. λιπὼν ἔπειρα βροτόεντα] ἔπειρα τὰ ἠβ φονευθέντων ὅπλα, ἢ καὶ ἐνδύματα, ἀπὸ τοῦ ἐναίρω τὸ φονεύω. βροτόεντα δὲ, ἤγουν αἱματώδη· βρότος γὰρ τὸ μὴ κόπου αἷμα.

Ὡς ἔφατ'. ὦδ' ἄρα Κύκνος ἐϋμμελίης ἐμενοίνα
Τῷ ὀπιπευθόμενος ἐχέμεν ἐρυσαρμαξας ἵππους.
Δὴ τοτ' ἀπ' ἀμπλακίαων δίφρου θόρον αἶψ' ὀπὶ γαῖαν
Παῖς τε Διὸς μεγάλου καὶ ἐναλίοιο ἄνακτος.
Ἡνίοχοι δ' ἔπλησαν ἔλασαν καλλίζυγας ἵππους.
Τῶν δ' ὑποσευομένων κανάχιζε πόδ' ἀρβαία χθών.

Sic dixit. at Cygnus bellicosas haudquaquam curabat,
Huic obtemperans, retinere trahentes curtum equos,
Ac tunc a bene compactis bigis desilierunt celeriter in terram,
Et Iouis filius magni, & Enyalij regis.
Aurigæ autem propius egerunt pulchricomos equos.
Illis autem irruentibus sonitu pedum concitata est lata terra.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Οὕτω (φησὶν) ἔφη ὁ Ἡρακλῆς· ὁ δὲ Κύκνος ἐκ ἐμενοίνα, καὶ ὠρέγετο ἡσυχίας, ὥστε πειθόμενος τῷ Ἡρακλεῖ κατέχειν τοὺς ἕλκοντας τὸ ἅρμα ἵππους· τότε δὴ ἐπήδησαν ταχέως ὀπὶ τὴν γῆν ἀπὸ τοῦ δίφρου ὁ Ἡρακλῆς ὁ παῖς τοῦ Διὸς, καὶ ὁ Κύκνος ὁ παῖς τοῦ Ἄρεως· οἱ ἡνίοχοι δὲ ἦγαγον τοὺς ἵππους πλησίον αὐτῶν, τῶν ἵππων δὲ κινουμένων, ἤχει ἡ γῆ, κοπτομένη ταῖς ποσὶν αὐτῶν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

ὃ δ' ἄρα Κύκν] οὐ προσδυμεῖτο αὐτοῖς ἀπολύσαι τῷ Ἡρακλεῖ πειθόμενος. ἐὐμμελίης] εὐμελὴς δὲ, ἀπὸ καλῆς χρώμενος τῇ μελίᾳ, τυτέστι τῷ δόρατι.

Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Πέτραι ὑποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
Πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι,
Ἄγλεοί τε ταχύῤῥιζοι ῥηγνύνται ὑπ' αὐτῶν
Ῥίμφα κυλινδομένων, εἰὼς πεδίον δ' ἀφίκωνται·
Ὡς οἱ ἐπ' ἀλλήλοισι πόδας μέγα κεκλήγοντες.
Πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλυτὴ Ἰαωλκὸς
Ἄρηϊ τ' ἠδ' Ἐνυαλίῳ, Ἀθηναίῃ τε παπταινε
Φωνῇ ὑπ' ἀμφοτέρων μεγάλ' ἴαχον. οἱ δ' ἀλαλητῷ
Θεσπεσίῳ συνίσαν. μέγα δ' ἔκτυπε μητίετα Ζεύς,

Vt autem ab alto vertice montis magni
Rupes desiliunt, aliæ super alias cadentes:
Multæque quercus, multæ item piceæ,
Alnique toris radicibus, refringuntur ab ipsis
Celeriter delabentibus, donec in campum perueniant:
Ita & illi in se mutuo ruebant cum magno clangore:
Tota autem Myrmidonum ciuitas celebrisq. Iaolcus,
Arnesque, & Enyalio, & Minervæ herbosa,
Præ voce vtrinsque valde resonabant. Illi autem cum clamore
Mirando congressi sunt. magnum autem intonuit consiliarius Iupiter,

Καὶ δ'

Καὶδ' ἄρ' ἀπ' ἠερόθεν ψιάδας βάλε αἱματοέσσας, — Et a cælo guttas demisit sanguinolentas,

Σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί. — Signum id ponens bello, suo multum confidenti filio.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ὥς γάρ δέ (φησιν) ὅτε ἀπὸ κορυφῆς ὄρεος σκιόωσι πέτραι, πέσωσι δ' ἐπ' ἀλλήλαις, ῥήγνυνται δ' ὑπ' αὐτῶν κυλιομένων δι' ὑλόεντος πολλαὶ δρῦς, καὶ πεῦκαι καὶ αἴγειροι, ἕως κε εἰς πεδιὸν γῆν κατέλθωσιν, ἔπος ἔπος συνέπεσον ἀλλήλοις, μεγάλως βοῶντες· πᾶσα δὲ ἡ πόλις τῆς Μυρμιδόνων, ἡ νῦν λέγεται Φθία, καὶ ἡ Ἰαωλκός, καὶ ἡ Λάρνη, καὶ ἡ Ἑλίκη καὶ ἡ Ἄνθεια, πόλις δὲ καὶ αὐτὴ Θετταλίας, ἤχουν μεγάλως ὑπὸ τῆς φωνῆς ἀμφοτέρων. οἱ δὲ συνῆλθον ἀλλήλοις διακόσιον καὶ μέγα ἀλαλάξαντες· ὁ Ζεὺς δὲ μεγάλως ἐπτύρησε βροντήσας, καὶ κατέβαλεν ἀπὸ τοῦ ἠέρος δρόσους αἱματηρὰς, σημεῖον τιθεὶς τῷ πολέμῳ τῷ ἰδίῳ παιδὶ Ἡρακλεῖ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Καὶδ' ἄρ' ἀπ' ἠερόθεν.] Ὅμηρος μὲν ὅτι Σαρπηδόνος μέλοντος τελευτᾶν, δηλόῳ ποιεῖ τὰς αἱματοέσσας ψιάδας φερομένας, ὅτε δὴ Ἡρακλέης γεγῶτες.

Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς σφηδάνῃ
Κάπρος χαυλιόδοντα φερὼν ἐπιμὼ μαχέσασθαι
Ἀνδράσι θηρητῆρσι, θήγει δέ τε λοξὸν ὀδόντα
Δοχμώσας, ἀφρὸς δὲ περὶ στόμα μασιόωντι
Λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην,
Ὀρθὰς δ' ἐν λοφιῇ φρίσσῃ ἔχεν ἀμφί τε δέρμῃ.
Τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἵππων ἆλτο θοάων.

Qualis autem in vallibus montis acerbus aspectu
Aper, dentes habens exertos, fertur impetu ad pugnandum
Cum viris venatoribus, acuitq; candidum dentem
Per obliquum actus, spuma autem circa os mandenti
Destillat: oculique ipsi igni splendenti similes sunt,
Rectis autem in vertice horret setis, circaque collum:
Talis similis Iouis filius ab equestri desiliit curru.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ὥσπερ δέ (φησι) κάπρος χαυλιόδους καὶ κεχαλασμένους ἔχων ὀδόντας, χαλεπὸς διάκειται αὐτὸν, φέρεται δὲ τοῖς ὄρεσιν ἐν θυμῷ, ὥστε μαχέσασθαι ἀνδράσι κυνηγέταις, καὶ θήγει τὸν ὀδόντα πλαγίως φερόμενος· ἀεὶ τὸ στόμα δὲ αὐτοῦ σάζει ἀφρός, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ πυρὶ εἰσιν ὅμοιοι, ἵστησι δὲ τὰς τρίχας ὀρθὰς ἐν τῷ τραχήλῳ αὐτοῦ· ἔτι καὶ Ἡρακλῆς ἀπεικάσθη ὅτι τῷ ἅρματος ὁμοίῳ τούτῳ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Κάπρος χαυλιόδων.] ὅτι δῆτον, ὡς χαρχαρόδους. ὁπόταν δὲ καὶ ὅτε καὶ χεχαλασμένους ἔχει φανερῶς τοὺς ὀδόντας· ἢ χεῖ ἐναλλαγὴ τοῦ ρ εἰς λ, οἷον χαράσσων τοὺς ὀδόντας, καὶ τραχιόων.

Ἧμος δὲ χλοερῷ πυκαζόμενος ἠχέτα τέττιξ
Οὔζῳ ἐφεζόμενος θέρεος αἰθροποιοῖσιν ἀείδῃ
Ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἔρση.
Καί τε παννυχίοις τε καὶ ἠῶθι χέει αὐδὴν
Σείριος ἐν αἰνοπάτῃ, ὁπότε χρόα σειρὸς ἄζῃ.
Τῆμος δὴ κέγχροισι περιγλαῶχες πελέθουσι

Quando autem viridi nigricans alis sonorosa cicada
Ramo insidens, æstatem hominibus canere
Incipit, cuius & potus & cibus fœmineus ros est,
Atque per totum diem, & mane sub auroram fundit vocem
Æstu in grauissimo, quando corpus Sirius exiccat,
Quando item & milio circum aristæ nascuntur,

Τές τε θέρει σπείρουσι, δυ' ὄμφακες αἰόλλονται,
Οἷα Διώνυσος δῶκε ἀνδράσι χάρμα καὶ ἄχθος·
Τῶν ὥρην μαρνάντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.

Quod æstate seminant, cum vuæ acerbæ colorem mutant,
Qualia Bacchus dedit hominibus in lætitiam & laborem,
Eo tempore pugnabant, multus autem tumultus excitabatur.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ὅτι δέ (φησιν) ὁ μελανόπτερος καὶ ἡχητικὸς τέττιξ ἐν χλωρῷ κλάδῳ ὀπισθόμενος ἄρχεται ᾄδειν καὶ σημαίνειν τοῖς ἀνθρώποις τὸ θέρος, φανερὸν τέτταρσι βρῶσις καὶ πόσις ὀξεῖα ἀπαλῶν δρόσος· τοῦτο δὲ τὸ [θῆλυς εἴρσῃ] ὃς ἐν προαίᾳ δι' ὅλης τῆς ἡμέρας [Γ᾽δεῖ ἐν αἰνοτάτῳ] ᾄδει ἐν κόπῳ καὶ ἔρῳ, ὅτι καὶ ὁ ἥλιος καίει τὸ σῶμα αὐτοῦ, ὅτι δὴ καὶ οἱ κέγχροι ἄρχονται αὐθέσκειας πιεῖν, ἥρωα σάκυας, ὃς ἐν θέρει σπείρουσιν. ὅτε καὶ οἱ ἄωροι βότρυες ἄρχονται ποικίλλεσθαι ἥρωα παιδεύειν· τὰ δῶρα λέγω τὰ Διονύσου, ἃ δέδωκε πᾶσι ἀνδράσι χαρὰν καὶ ἄχθος. ἄχθος μὲν, διὰ τὸ εἰς τὴν ἐργασίαν τὴν ἀμπέλων μόχθον, χαρὰν δέ, διὰ τὴν εὐφροσύνην, τὴν ἐν τῷ οἴνῳ. χρὴ τὴν ὥρην ταύτην, ἵνα τοῦτο γένηται, ἐμάχοντο ὅ, τε Ἡρακλῆς καὶ ὁ Κύκνος. ἠγείρετο δὲ πολὺς κτύπος τούτων μαχομένων.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Γ᾽δεῖ ἐν αἰνοτάτῳ.] τὸ καιρὸν λέγει τῆς μάχης. ἴδει ἐν αἰνοτάτῳ, ἐν τῷ θέρει τῷ καυματώδει, ὅτε τὰ σώματα ἔδονται καὶ καθιδίονται τοῖς ἱδρῶσι, παρὰ τὸ ἰδεῖν, ὃ ὀξὺ ἱδρουῖ. καὶ ὅμως, Γ᾽δεῖ αἰνοτάτῳ. θερμαλωχᾶς.] αἱ γωνίαι τῆς σάκυος· διαφερόντως δὲ τὸν σάκυν. δῆλον δὲ τὰ φύλλα τῆς κέγχρου. εἰς αὐάνωσιν δὲ τῆς γῆς τὰς κέγχρους σπείρουσιν. ἐν θέρει δὲ οἱ κέγχροι, καὶ ἀπὸ τοῦ θέρους σπείρονται, ὅταν ἄρχονται πρικάζειν οἱ βότρυες.

Ὡ᾽ς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
Ἀλλήλοις κοτέοντε δπὶ σφέας ὁρμήσωσι,
Δεινὴ δέ σφ' ἰαχὴ ἀεμβός θ' ἅμα γίνετ' ὀδόντων·
Οἱ δ' ὡς αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι
Πέζῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μαχέσθην
Αἰγὸς ὀρεσινόμου ἢ ἀγροτέρης ἐλάφοιο
Πίονος, ἣν τ' ἐδάμασσε βαλὼν αἰζηὸς ἀνὴρ
Ἰῷ ἀπαλῇ δουρὶ, αὐτὸς δ' ἀπάλησε μόλις ἄλλη
Χώρῃ ἀϊδρὶς ἐών, οἱ δ' ὄβριμον ἔνδοθεν ἔπτην,
Εὐσυμένως δέ σφι ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
Ὡ᾽ς σφὶ κεκληγότες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

Vt autem leones duo, pro occisa cerua
Sibi mutuo irati, in seipsos impetum faciunt,
Sæuusque inter ipsos rugitus, strepitusque exoritur dentium:
Atque vt vultures incurui vnguibus repandi rostri
Rupe in excelsa, magno clangore dimicant,
Captæ montiuagæ gratia, aut feræ ceruæ
Pinguis, quam interfecit iaculando iuuenis vir,
Sagitta e neruo emissa: ipse autem vagatur alio loco
Loci ignarus existens: at illi celeriter animaduerterunt,
Certatimq. pro ea pugnam acerbam instituerunt:
